UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Hierakosophion

Demetrius <Pepagomenus>

Lvtetiae, 1612

[Text]

urn:nbn:de:hbz:466:1-12846

Visual Library

# ΔΗΜΗΤΡΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΠΟΛΙΤΟΥ, ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΙΕΡΑΚΩΝ ΑΝΑΤΡΟΦΗΣ ΤΕ ΚΑΙ ΘΕΡΑΠΕΙΑΣ.

ΕΣΠΟΥΔΑΚΟΤΙ σοι λίαν, κράτιστε καὶ σοφώτατε δέσποτα βασιλεῦ, περὶ τὴν τῶν ἱεράκων ἀνατροφήν τε καὶ θεραπείαν, καὶ πῶς τῷ σφοδρῷ πάλαι περὶ τούτων φίλτρῳ ἐπτοημένῳ, τινά σοι περὶ αὐτῶν θεραπείαν συντάξαι, δι' ἧς δυνήσῃ τῷ τῶν ἱερῶν ὀρνίθων γένει, πρὸς σωτηρίαν τινὰ ποιήσασθαι μηχανήν· ἀποπληρῶν μὲν σοι τὸ τῆς κελεύσεως, ἐμαυτῷ δὲ τὸ τῆς σπουδῆς καὶ προθυμίας, καὶ ὑπακοῆς, ἐπὶ τὴν συγγραφὴν ὥρμησα ταύτην, καθ' ἕκαστον πάθος οἰκείως τὴν θεραπείαν αὐτῶν ἐκτιθέμενος. τῆς γὰρ φύσεως πολλὰς *ἐνεργείας τῷ γένει τῶν ἀνθρώπων ἐφευραμένης, τοῦτο μὲν βοτανῶν ἐν φύσει ποικίλων, τοῦτο δὲ ἱερῶν λίθων δυνά-

μιν φυσικήν τινα πρὸς θεραπείαν λαχόντων ἐνέργειαν, οἱ πολλοὶ τῶν πάλαι σοφωτάτων ἀνδρῶν περὶ οἰκείου μόνον γένους θεραπείαν συνεγράψαντο· τὰς μὲν, ἐκ θειοτέρας τινὸς ἐπινοίας, τὰς δὲ, ἐξ οἰκείας φρονήσεως πρὸς σωτηρίαν πραγματευσάμενοι· ἄλλοι δὲ, τῶν συνοίκων τε καὶ τετραπόδων ἐπεμελήσαντο, ἵππων τε φημὶ καὶ βοῶν, καὶ κυνῶν, καὶ ἡμιόνων, καὶ τῶν πρὸς μελῳδίας ἐπιτηδείων ὀρνέων· τῶν μὲν τὸ χρειῶδες, τῶν δὲ τὸ τερπνὸν, καὶ τὸ σὺν ἀμφοτέροις ἀγάμενοι, μόνου τῆς τῶν ἱεράκων ἀνατροφῆς καὶ θεραπείας, οὐκ οἶδ' ὅ τι παθόντες, κατημέλησαν, καὶ ταῦτα οὐκ ἔλαττον, εἰς τέρψιν καὶ χρείαν τῷ ἀνθρώπων γένει, τοῖς προῤῥηθεῖσι ζώοις συνενεγκαμένοις τούτοις. πρόδηλον γὰρ, εἰ μή τις ἔρως ἐπί τινι παρακολουθήσῃ πράγματι, ἀμήχανον τοῦτο κατορθωθῆναι· ὁ γὰρ τῶν δεσποτῶν πρὸς τὰ ζῶα πόθος, πρὸς τὴν ἐκείνων ἐπιμέλειαν αὐτοὺς παρορμᾷ. τὰ μὲν οὖν δι' ὀνείρων αὐτὸς θεοῦ καθηγεμόνος τυχὼν, τὰ δὲ διὰ πολλῆς πείρας πολλῷ προελαθείσης μοι τῷ χρόνῳ συνεργῷ πρὸς τὴν διδασκαλίαν χρώμενος, ἐσπούδασά τινα χρήσιμον θεραπείαν

πρὸς σωτηρίαν τῷ ἱερῷ τῶν ὀρνίθων γένει καταλιπεῖν· μικρὰ τιζαροῦ προειπὼν περὶ τῆς θεραπείας αὐτῶν καὶ θήρας, μηχανῆς τε καὶ τέχνης δι' ἧς ἁλίσκονται, τροφῆς τε καὶ τιθασσεύσεως, θήρας τε καὶ φυσικῆς ἀτολμίας, ἰσχύος τε καὶ φυσικοῦ λογισμοῦ ἁρμοδίως ἐγκειμένου τῷ ζώῳ ἐπὶ τὰ προκείμενα τῆς συγγραφῆς τῷ λόγῳ προβήσομαι ἑκάστῃ πραγματείᾳ οἰκείαν ἁρμοδίαν ἐπιγραφὴν ποιησάμενος.

## Πῶς χρὴ θηρᾶσθαι ἱέρακας, καὶ ποίῳ καιρῷ.

Ἐπειδὴ προσιοῦσαν τὴν ὥραν τοῦ θέρους αἴσθωνται οἱ περὶ τὴν τῶν ἱεράκων θήραν ἐπτοημένοι, τὰς οἴκοι καταλιπόντες διαγωγὰς*, τὰς τῶν ὀρῶν κορυφὰς μετέρχονται. εἶτα πᾶσαν ὕλην ἀναζητοῦντες, καὶ διά τινος ἐπιπλάστου τέχνης τὰς τῶν πατέρων φωνὰς μιμούμενοι, σοφῷ τινι ὀργάνῳ τὴν φύσιν ψευδόμενοι μηχανῶνται· ἡ γὰρ δοκοῦσα τοῖς ὀρνέοις ὁμοία φωνὴ, πρὸς ἀπάτην ὀργάνῳ διηχεῖται τοιῷδε.

## Πρώτη μηχανή.

Φλοιὸν κεράσου δένδρου περιελόντες, καὶ τοῦ-

τον εἰς λεπτὸν ὑμένα ἐπισημόνως καθάραντες,
καὶ ὥσπερ λεπτὸν χιτῶνα ἀπεργασάμενοι, καὶ
μεταξὺ δύο μερῶν καλάμου διηρημένου, εὐ-
ρύθμως ἐγκατακλείσαντες τῇ γλώττῃ τοῦ πεποιη-
μένου ὀργάνου ἐπαφώμενοι, καὶ βιαιότερον δι'
ἑαυτῶν τὸ πνεῦμα ἀνέλκοντες, ἅμα τε καὶ ἐκ-
πέμποντες, ἱέραξι παραπλησίως δοκοῦσιν ἀ-
φιέναι φωνὴν, ἐντέχνως τὸν τῶν πατέρων ἦ-
χον μιμούμενοι· οἱ δὲ νεοσσοὶ διὰ τὸ νέον τῆς ἡ-
λικίας, καὶ ἁπαλὸν τοῦ σώματος, οὐκ εἰδότες οὔ-
τε τοὺς τῶν ἀνθρώπων δόλους, οὔτε τὰς ἐπιβου-
λὰς φυλάξασθαι, ὑπὸ τῆς ἐκ τοῦ ὀργάνου φω-
νῆς ἐπαγόντες, καὶ τὴν τῶν πατέρων φωνὴν
συνήθως ποιούμενοι, προθυμότατα κατὰ τῶν
κλάδων τῶν δένδρων διαπτάντες, καὶ χωρεῖν τρε-
πόμενοι, ἐλεεινόν τι δοκοῦσι τὴν τῶν πατέρων
φωνὴν ἀποφθέγγεσθαι, ἑαυτοὺς πόῤῥωθεν τοῖς
ἀνδράσι καταμηνύοντες· οἱ δὲ θηραταὶ ὑπὸ
τῆς τοιαύτης φωνῆς ξεναγωγούμενοι πλησίον
ἀφικνοῦνται, καὶ μικρόν τινα τόπον καὶ καθαρὸν
δένδρων ἐπιλεξάμενοι, ὥστε τὴν προκειμέ-
νην θοίνην ἀνεμποδίστως αὐτοῖς δύνασθαι κα-
θορᾶν, καλύβην πηξάμενοι, ὅσον δυνατὸν αὐ-

δρα σκεπάσαι, καὶ ταύτην πολλῇ χύσει φύλλων
πανταχόθεν ἀσφαλισάμενοι, ὥστε μὴ καθορᾶ-
σθαι τὸν λόχον ἠρεμοῦσι, μίαν τινὰ κατὰ κορυ-
φῆς διόπτραν τῆς καλύβης ποιησάμενοι, καὶ ταύ-
την ἠρέμα ἐπικαλύψαντες, ἵνα καιροῦ καλοῦν-
τος ἀνεμποδίστως ὁ θηρατὴς ἔχῃ τὴν θήραν
ἐπιβάλλεσθαι, ἐπιδεσμοῦσιν ὄρνιν κατοικίδα,
ἢ περιστερὰν, λεπτὴν τῇ καλύβῃ σχοῖνον τῶν πο-
δῶν ἐξαρτήσαντες. ἔπειτα τῇ εὐωνύμῳ χειρὶ
τὸν προσδεθέντα ὅρμον ἕλκοντες, καὶ ἀνίπτασθαι
παρασκευάζοντες ἅμα, καὶ ἐφιζάνειν τῇ καλύβῃ
πάλιν, ὡς δοκεῖν ἀφίπτασθαι μέλλουσαν κατὰ
χώραν, προσκαλοῦνται τοὺς νεοττοὺς πρὸς ἀρ-
παγὴν τῆς θοίνης· οἱ δὲ τῇδε ἐπιπλάστῳ φω-
νῇ, καὶ τῇ τοῦ ὄρνιθος βοῇ ἐκκαλούμενοι πρὸς
τὴν ἐνέδραν, ἀθρόως προελθόντες τῆς ὕλης,
καὶ διαφυγὴν ἐκ τῆς δοκούσης ἀναπτήσεως τὸν
ὄρνιν ἐλπίσαντες, ἀφυλάκτως ἐπιβάντες αὐ-
τῷ, καὶ τοὺς τῶν ποδῶν ὀβελοὺς ῥᾳδίως ἐγκα-
ταπείραντες, ἀφίπτανται πάλιν μετὰ τῆς θοίνης
ἐπὶ τὴν ὕλην σπουδάζοντες ἀλύειν * τοῦ δεσ-
μοῦ τῆς ὄρνιθος ἀφανῶς ἐπέχοντος αὐτούς· εἶ-
τα ἐν ᾧ δοκοῦσι διαμάχεσθαι πρὸς αὐτὸν, ἐκ-

τείνας ὁ θηρατὴς τὴν χεῖρα διὰ τῆς διόπτρας τῆς προῤῥηθείσης, ἕλκει τῶν ποδῶν αὐτῶν εἰς τὴν καλύβην ἀθρόως λαβόμενος. μετὰ δὲ τὸ λαβεῖν τῆς θήρας τὸ ἔπαθλον ἐν χερσὶ σπαργάνοις τισὶ καὶ ῥάκεσι περιπεδήσαντες, ὥσπερ τὰ νεαρὰ τῶν παίδων αἱ μητέρες εἰώθασι σπαργανοῦν, ἀποτίθενται ἐπὶ γῆς οὐκ ἐλευθέροις τὴν δεσμὴν ἀφιέντες, μόνην τὴν διέξοδον τῆς ἐκκρινομένης κόπρου, διὰ τὸ τῆς χρείας ἀναγκαῖον, ἀδέσμευτον ἐῶντες τριῶν ἡμερῶν ἢ τεττάρων τὸ πολύ. οὕτως τραφέντας, ὡς ἔχουσι σχήματος, ἀφιέναι τῶν δεσμῶν, καὶ τῶν ῥάκων καταστάντες ἐλεύθεροι, ἐπὶ τινος ξύλου πρῶτον ἑστάναι διδάσκονται. τρόπος μὲν εἷς ἐστὶν ὁ περὶ τῆς θήρας αὐτῶν. εἰ δὲ συμβῇ ταύτην μὴ ἰσχύσαι τὴν τέχνην, τὸ τοὺς πατέρας αὐτῶν τὴν διακομιδὴν τῆς τροφῆς, ἐκ χωρίου πλησίου τινὸς ποιουμένους μὴ διαλείπειν φέροντα, ὡς μηδεμίαν εἰς τὸν τῆς καλύβης αὐτῶν λόγον μήτε τὴν τοῦ ὀρνέου φωνὴν δαψιλῆ ἑτέραν τινὰ μηχανὴν κατ' αὐτῶν τοιάνδε προβάλλονται.

## Δευτέρα μηχανή.

Ἐπιτηροῦντες τὰς τῶν ὀρνέων διεξόδους, καθὸ οἱ πατέρες ταχεῖς τῇ πτήσει τὴν τροφὴν τοῖς νεοττοῖς, ἀδιαλείπτως παρέχουσι, καὶ ἐπιμελῶς ἐνεδρεύσαντες, ἐνδείᾳ τροφῆς δοκιμάζουσι, τοὺς μὲν νεοττοὺς τῶν πατέρων ἀφελόμενοι, τοὺς δὲ πατέρας τοῖς δεσμοῖς ἐπὶ μιᾶς μόνης ἡμέρας ταλαιπωρήσαντες, τῇ ἐπιούσῃ παραγαγόντες αὐτοὺς εἰς τὸν ἀέρα, καὶ τῆς καλύβης ἐκδημήσαντες, τῇ συνήθει φωνῇ τοῦ ὀργαίου χρησάμενοι ἐπιβοῶνται τοὺς ἱέρακας· οἱ δὲ νεοττοὶ ὑπὸ τοῦ λιμοῦ πιεζόμενοι, καὶ ὑπὸ τῆς ἐπιπλάστου φωνῆς δελεαζόμενοι, ἕτερον ἐξ ἑτέρου ταχείᾳ τῇ πτήσει δένδρον ἀμείβουσιν. ἐπειδὰν δὲ τοὺς πατέρας κατίδωσι κρεῶν ἐμφορουμένους δεσμίους· διδόασι γὰρ αὐτοῖς οἱ θηραταὶ κρέα ἐσθίειν· τῇ τούτων θοίνῃ παραπεσόντες ἀθρόως, καὶ αὐτοὶ ἁλίσκονται· ἀφιᾶσι δὲ ἐλευθέροις τῆς φυλακῆς τοὺς πατέρας· οἱ γὰρ ἄνδρες διὰ τὴν εἰς αὐτοὺς αὖθις γονὴν ἐλεεῖν αὐτοὺς ἀναγκάζονται.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

## Τρίτη μηχανή.

Ἔγνων δὲ καί τινας τῶν θηρατῶν, κειμένους εἰς γῆν ὑπτίους, ἔπειτα ἢ χόρτῳ ἢ βοτάνῃ τῇ εὑρεθείσῃ πλησίον, ὅλον τὸ σῶμα σκεπάσαντες, διὰ τὸ καθορᾶν περιϊόντα τὸν ἱέρακα τῇ εὐωνύμῳ χειρὶ, καὶ αὐτῇ ὁμοίως ἐσκεπασμένῃ κατέχοντες, * ἢ περιστερὰν κατὰ μικρὸν ἀναῤῥιπτοῦντες, ὡς δοκεῖν μέλλειν ἵπτασθαι, τῷ κατασκευαστῷ ὀργάνῳ φθεγγόμενοι ἐφεδρεύουσιν, ἑτοίμην ἔχοντες τὴν χεῖρα τὴν δεξιὰν, πρὸς τὴν τοῦ ἱέρακος θήραν, καὶ αὐτὴν σκεπομένην χόρτῳ ὁμοίως. εἶτα λαβόντες τοῦτον ταύτῃ τῇ τέχνῃ καὶ προῤῥηθείσῃ σπαργανώσαντες, ἐναποτίθενται τῇ καλύβῃ.

## Τετάρτη μηχανή.

Ἕτεροι δὲ πάλιν ὄρνιν ἐπὶ γῆς δήσαντες, καὶ μακροτάτῳ σχοίνῳ καὶ λεπτῷ ὑφελόντες τῶν ποδῶν, παρασκευάζουσιν αὐτὴν κατ' ὀλίγον διακινοῦντες αἰ ἵπτασθαι· ἔπειτα δὲ ῥάβδους ἰξοῦ πλήρεις κύκλῳ περιπλύξαντες, θηρῶσι, εἶτα ἐλαίῳ θερμῷ τὸν προσπλακέντα ἰξὸν τοῖς πτε-

ροῖς

ροῖς περιαιροῦσιν· ἔστι δὲ αὕτη ἡ θήρα ἐπιβλαβὴς τῷ ἱέρακι· ἢ γὰρ προσρήγνυται ὑπὸ τῆς φυσικῆς ὁρμῆς ἀνίπτασθαι προθυμούμενος, ἢ διαφθείρεται, ἢ τὰ πτερὰ κλάσας πρὸς τὴν θήραν ἀχρεῖος γίνεται.

## Πέμπτη μηχανή.

Ἕτεροι δὲ πάλιν δίκτυον οὐ λίαν μέγα πρὸς ἀνατολὰς ἡλίου ἐπ' ἄκρου τῶν ἄκρων λόχων ἐγείραντες, καὶ περιστερὰν ἐν μέσῳ τούτων ἐνδήσαντες, εἶτα τὰ τῶν ἐκεῖσε δένδρων κορυφαιότατα στεφανώσαντες κύκλῳ τοῦ δικτύου, καὶ ἰξοῦ πληρώσαντες, ἔπειτα ἐνθέντες περιστερὰν μέσον τοῦ κύκλου, ἢ ὄρνιν κατοικίδιον θηρῶσιν αὐτοὺς *** καταπεσόντας διαφθείρεσθαι.

## Ἕκτη μηχανή.

Ἄλλοι δὲ κλίμακας μακρὰς τοῖς δένδροις προσαρμόσαντες, εἰ καὶ λίαν ἐπικινδύνως, ἀπὸ τῆς καλιᾶς ἀφαιροῦνται τοὺς νεοττούς. ἔστι δὲ τῶν οὕτω ληφθέντων ἱεράκων μοχθηρὰ καὶ λίαν ἀηδὴς καὶ ἐπισφαλὴς ἡ ἀνάληψις, διὰ τὸ νεαρὸν τοῦ σώματος, ταχέως διαφ-

θείρεσθαι τὰ ζῶα· ἔστι δὲ ἀδοκήτως διασωθῆναι κράζοντα δι' ὅλης ἡμέρας ἐλεεινά. ἔσθ' ὅτε καὶ διὰ νυκτὸς οὐ διαλείπει τὴν ἐξ ἀρχῆς τοῦ χρόνου συνήθειαν διόλου φυλάττοντα· αὗται τοίνυν κατὰ τῶν ἱεράκων ἐφεύρηνται μηχαναί, ἃς καὶ αὐτάρκως ἔχειν ἡγοῦμαι.

## Περὶ ἐπιλογῆς ἱεράκων.

ΔΕΙ τὸν ἐπιλεγόμενον ἱέρακα, ἐν πρώτοις τὸν νεανίσκον ἐπιζητεῖν· ἔπειτα τὸν λεγόμενον ὀφιοκέφαλον· εἰσὶ γὰρ οἱ μικρὰς τὰς κεφαλὰς ἔχοντες, καὶ ὁμοίας ὄφεων, τουτέστιν ἰσοπλατεῖς ἐπὶ τὰ τέλη τῶν μερῶν· εἰσὶ δὲ καὶ ἐπιμήκεις· καλλίοις δέ εἰσιν οἱ στρογγύλοι ἱέρακες, καὶ τετράγωνοι. αἱ ῥῖνες αὐτῶν εὐρεῖαι. τὸ δὲ κίτρινον χρῶμα τῆς ῥινὸς αὐτῶν μὴ ἔστω λίαν λαμπρόν· ὀλιγοχρόνιον γὰρ δηλοῖ τὸν ἱέρακα. ἡ γλῶσσα αὐτοῦ ἐπαινετὴ μὲν καθόλου ἡ μέλαινα· αἱ μέν τοι ἔχουσαι τὸ ἥμισυ μέλαν, καὶ τὸ ἥμισυ λευκόν, τὰ δεύτερα φερέτωσαν εἰς ἐπιλογήν· αἱ δὲ λευκαὶ ἀδόκιμον πάντη τὸ ζῶον δεικνύουσι· καὶ ὁ καλούμενος ὑπὸ τῶν πολλῶν ἐλαιοφόρος, ὀλιγοχρόνιος· πᾶς δὲ

ἱέραξ καλὸς γνωριζόμενος ἔχει εἰς τὴν οὐρὰν πτερὰ δεκατρία· ἔχει δὲ χρώματα εἰς τοὺς μικροὺς δακτύλους, οὓς καὶ φασὶ βαρυθήροις εἶναι μάλιστα.

## Ὅσα ἔχει σημεῖα ὁ καλὸς ἱέραξ.

ΚΕφαλὴν μικρὰν ὁμαλὴν ἐπαινῶ, ὡς * ὀγγύλας καλούμενος ἀετὸς, γλῶσσαν μέλαιναν, τὰς ἐν τῇ ῥινὶ ἐλαίας μελαίνας, εἰς τὴν οὐρὰν πτερὰ δεκατρία, ἢ ἕνδεκα· ἐν τοῖς ὄνυξι δοκοῦσιν οἷα χαράγματα, ἤγουν εἰς τὰ χρώματα λέπιδας ὡς καλούμενος κυπρῖνος ἰχθὺς, καὶ ἔσωθεν, ὡς ὁ ἄρσην τῶν περδίκων· ἔχει ἧλος ὄπισθεν κόρνον· καλὸν δέ ἐστιν ἐὰν καὶ μακρὰν ὡς ἐπιπολὺ ἤγουν λαγγίαν τὴν οὐρὰν ἔχει.

## Ἐκ ποίων σημείων γνωρίζεται ὁ καλὸς ἱέραξ.

ΕΑΝ ἐστὶν οὐλοφάγος, ἤγουν ἔχει ὡς κεγχρίου κόκκοις μελαίνας, ἢ ἐὰν ἔχῃ εἰς τὸν ὀπίσω ὄνυχα, ὡς ἐπὶ τὴν ῥίζαν τοῦ ὄνυχος χάραγμα, ἤτοι γραμμήν. ἢ ἐὰν ἔχῃ ὑποκάτω τῆς πτέρυγος ὀξὺ πτερὸν πρὸς τὸ πλευρὸν,

ἢ πρὸς τὸ ὠμάελον. καὶ ἐὰν τὰ βασιλισκά-ελα μακρὰ ἔχῃ ἴσα τῶν προπτελλάτων. καὶ ἐὰν ἔχῃ * σκέπον λοχοχόρου ἤγουν πτερὸν τῆς οὐρᾶς αὐτοῦ τὸ μέσον.

## Γένη ἱεράκων διάφορα.

Ἱεράκων γένη πλείω· καὶ ταχεῖς μὲν ἄλλοι πρὸς θήραν, περιστεραῖς μάλιστα καὶ φάσσαις ὀλέθριοι· οἱ δὲ τὰς ὄρνις τὰς ἐλάσσους αἱροῦσιν. ἕτεροι ἀργότατοι, καὶ πρὸς τὰς πτήσεις ὀκνώδεις, ὥστε τρέφεσθαι παρ' ἑτέρων ἐθέλειν, καὶ ὀψὲ τοῦ καιροῦ πρὸς ἀγρὰν ὁρμᾶν, καὶ βατράχοις ἐπιτίθεσθαι μόνοις· καὶ τοῖς ἀνθρώποις δὲ ἄλλοι κοινωνοῦσι τῆς θήρας. κορυδοῖς δὲ εἰσιν οὗτοι καὶ χελιδόσι πολέμιοι· καὶ ταύτῃ γε αὐτοῦ συγγενεῖς ἄν τις εἴπῃ τειρέως. καὶ ἀμβλυωποῦσιν ὑπὲρ πᾶν γένος ὀρνέων, ὡς καὶ θερμοῦ τοῦ πάθους ἐπίστασθαι θεραπεύεσθαι· γάλα δὲ ἐστὶ ἀγρίου μαρούλι, * θριδακίνης ἀγρίας, ἣν ἀποτέμνειν τοῖς ἱέραξιν ἔθος ὑπὲρ ἰάσεως.

Εἰ θέλεις ἀγοράσαι ἱέρακα, ἐκ ποίων σημείων ἐπιγνῶσαι εἴτε ὑγιής ἐστιν εἴτε ἀσθενής.

Λαβὼν περιστερὰν, πότισον αὐτὴν λάσαρον μετὰ οἴνου εὐώδους παλαιοῦ, καὶ δὸς αὐτὴν φαγεῖν τὸν ἱέρακα, καὶ εὐθὺς γνώσῃ εἰ ὑγιής ἐστιν, ἢ οὔ· ἐὰν γὰρ ἔχῃ αἰτίαν τινὰ, οὐχ ἅπτεται αὐτῆς.

Ἄλλο.

Θὲς αὐτὸν χαμαὶ πλησίον τῶν ποδῶν σου, καὶ ὕψωσον τὴν χεῖρά σου ὅσον δύνασαι, καὶ λαβὼν κρέας, κάλεσον αὐτόν· καὶ εἰ μὲν ἔλθῃ εὐθὺς ἐν τῇ χειρί σου· ἴσθι ὅτι ὑγιής ἐστιν· εἰ δὲ μὴ, νοσεῖ, καὶ μὴ τοῦτον ὠνήσῃ.

Ἄλλο.

Ἀπελθὼν εἰς χαλκεῖον, λάβε ῥίνισμα σιδήρου, καὶ λειώσας αὐτὸ καλῶς, δίδου μετὰ κρέως, ὡς ἔθος ἔχει τοῦτο τρέφεσθαι· καὶ εἰ μὲν πίνῃ αὐτὸ, ἐκ τούτου * γὰρ τεκμαίρου, ὅτι τὰ ἔνδον αὐτοῦ πάσχει· ἐὰν δέ ποτε συμβῇ αὐτὸν μετὰ τὸ λαβεῖν τοῦ σιδήρου τὸ ῥίνισμα κτυπεῖν τὰ

ὀστᾶ, ἤτοι τὰ στέρνα αὐτοῦ, σημεῖον ἔστω σοι καὶ τοῦτο, ὅτι τὰ μὲν ἔνδον αὐτοῦ ἀσθενῆ ὑπῆρχον· ὠφέλεια δὲ καὶ θεραπεία αὐτῷ μεγίστη γίνεται ἐκ τούτου.

## Ἄλλο.

ΠΝεύμονα προβάτου εὔθερμον ἔτι ὄντα δίδου εἰς βρῶσιν τῷ ἱέρακι· κἂν μηδὲν ἀηδὲς εὐθὺς πάθῃ τὸ ζῶον, ὑγιῆ ὑπάρχειν τὰ ἔνδον αὐτοῦ πίστευε. εἰ δὲ ἀγωνιᾷ, καὶ πρὸς πέψιν ταλαιπωρότερος ἔρχεται, ἴσθι ὅτι νοσεῖ, καὶ τῇ αὔριον συχνότερον εὑρεθήσεται, καὶ μὴ ὠνήσῃ τοῦτον. εἰ δὲ τὸ ζῶον σου ὑπάρχει, τῇ δεούσῃ ἐπιμελείᾳ τοῦτο μετέρχου.

## Περὶ καιροῦ θήρας, ἀγωγῆς τε ἐπιτηδείας καὶ ἡμερώσεως.

Ο Τῆς θήρας τῶν ἱεράκων καιρὸς, ἄρχεται μὲν τῇ πρὸ ὀκτὼ καλανδῶν ἰουνίου, παύεται δὲ λοιπὸν ἰουλίου πληρουμένου τῶν μικρῶν καὶ ἐπὶ τῆς καλιᾶς αἰρομένων. τῶν γὰρ ἤδη θήραν μαθόντων παρὰ τῶν πατέρων ὁ καιρὸς ἕως μηνὸς αὐγούστου· ληφθέντας δὲ

χρὴ τοὺς ἱέρακας ἐν σκοτεινῷ καταϰλείεσθαι οἰκή-
ματι, ἐφεστῶτας ἡσυχῇ τῷ ξύλῳ συμμέτρως *
δι' ἐπ' ὀλίγας ἡμέρας μᾶλλον ἐπὶ τῶν χειρῶν
φερομένοις πρὸς ἀνατολῶν ἡλίου, καὶ πάλιν
δυσμῶν ταῖς ψυχροτέραις ὥραις τῆς ἡμέρας τοῦ
θέρους ἐνδιατρίβοντες· εἰ γὰρ ἐπιπλεῖστον μέρος
συνεχῶς βασταζόμενοι ἐν ἀέρι θερμῷ, πλέον
ἀπὸ τῆς πλήσεως τῆς χειρὸς ἠρτημένοι ποιοῦνται
τὴν τοῦ θηραλιοῦ κατὰ φύσιν θερμότητα ἐκπυ-
ρακτούμενοι τοὺς πνεύμονας, οἳ καὶ τάχιστα δια-
φθείρονται, καὶ τῷ καιρῷ τῆς θήρας ἐπ' ὀλίγον
καμόντες ἀπόλλυνται, μὴ γνῶσι σημεῖον θα-
νάτου παραδόντες τῷ θηρατῇ. ἔπειτα γενναίως
λίαν ἱμάντας δεσμεύειν αὐτὸν τοῖς ποσὶ δε-
καπέντε ὅλοις δακτύλοις ἔχοντας μῆκος μετὰ τοῦ
τῶν ποδῶν δεσμοῦ μελανὴν ἔχοντας οὐ φοι-
νικὴν τὴν χροίαν, διὰ τὴν περὶ τῶν ἀετῶν
εἰς αὐτοὺς γινομένην ἁρπαγήν. ἐὰν γὰρ φοι-
νικοῦς τύχωσιν ἔχοντες ἱμάντας, ἱπτάμενοι θη-
ρῶνται ταχέως ὑπὸ τῶν ἀετῶν νομηθέντες, τὴν
γὰρ βαφὴν ὅμοιοι τοῖς νεαροῖς τῶν κρεῶν μέ-
ρεσι πόρρωθεν φαίνεται· φερέσθωσαν δὲ ἐπ' ἄ-
κρου τοῦ καρποῦ τῆς εὐωνύμου χειρὸς, τῶν δα-

κτύλων εἰς τὰ ἔνδον ἐστραμμένων· γινέσθω δὲ τὸ κοινὸν αὐτοῖς ἀνάβλημα βάσις τῷ ἱέρακι * στάσις· ἐπ᾽ ἄκρου δὲ τῆς χειρὸς ἑστάναι μὴ συγχωρήσθω αὐτῷ, ἢ τοῦ μεγάλου δακτύλου, ἵνα μὴ τι εἰς τὴν ἐκπομπὴν τῆς θήρας ἀσθενέστερον ἀπὸ τῆς χειρὸς ἐξωθούμενοι φέρεσθαι. ποππυσμοῖς δὲ τισὶ καὶ χειρῶν ἐπαφῇ, λόγοις τε κολακευτικοῖς τὰς ψυχὰς ἡμεροῦντες αὐτῶν εὖ μάλα τιθασσεύονται. εὐαίσθητον γὰρ τὸ ζῶον λίαν, καὶ κατὰ τὴν ἑαυτοῦ φύσιν λογικόν, μνήμης τε οὐκ ἄμοιρον. τὸ γοῦν ἔθος, ὡς φύσεως λυόμενος παρέλαβε, μέχρι θανάτου ἀμετάβλητον φυλάττει διόλου· βασταζέσθωσαν πυρὸς αὐγῆς καὶ λύχνου μὴ λίαν ἐγγὺς διὰ τὴν ἐκ τοῦ καπνοῦ αὐτοῖς γινομένην βλάβην· περαύνειν γὰρ εἴωθε τὸ τῆς ψυχῆς αὐτῶν αὐτεξούσιον καὶ ἄγριον ἡ περιαστράπτουσα ἐν σκότει λαμπὰς τοῦ φωτός. ἔσω δὲ τὸ ξύλον, ἐφ᾽ οὗπερ ἑστήκασι, μήτε λίαν παχύ, μήτε πάλιν λεπτότατον, μηδὲ ἐπιφέρον ἀσυμμετρίαν, καὶ τοῦτο τοσοῦτον, ἵνα ἡ τῶν ὀνύχων ἄνοιξις περιπλεκομένη τῷ ξύλῳ πληρῶσι τὸ κοῖλον τοῦ ποδός, ὥστε δυνηθῆναι τὸν ὄπισθεν ὄνυχα συναρμόσαι τοῖς

τοῖς ἔμπροσθεν πρὸς τὴν κλίσιν· γινέσθω δὲ αὐτοῖς καὶ ὁ πρὸς τὸ ξύλον δεσμὸς τῶν ποδῶν ὀλίγον χαυνότερος, ὥστε ἀφιπταμένοις, καὶ πάλιν προσιπταμένοις τῷ ξύλῳ συμπεριγίνεσθαι. ὁ γὰρ ἐσφιγμένος λίαν δεσμὸς ἐν τῆς τοῦ ἱέρακος πτήσεως στρεβλωθεὶς πλέον ἢ ἔλαττον τοῦ ἐξ ἀρχῆς γινομένου μέτζου, ἐπέχειν ἀδοκήτως τὴν πτῆσιν, ὡς καὶ προσεραγέντας τῷ ξύλῳ διαφθείρεσθαι. ἔστω δὲ καὶ βῆλον ἤγουν παραπέτασμα ὑποκάτω αὐτῶν εἰς τοὺς δεσμοὺς, ὅπου ἐφεστήκασιν, ἵνα ἀνιπτάμενοι μὴ διαστρέφωνται. τὸ δὲ μεταξὺ τῶν δεσμῶν χώρημα ἐπὶ ξύλου τῶν ἱεράκων ἔστω δακτύλων εἰκοσιπέντε, καὶ μόνον· ἐὰν γὰρ παρὰ τοῦτο τὸ μέτζον πλησιέστερον ἀλλήλων τεθῶσιν, ἀναιροῦσιν ἀλλήλοις μαχόμενοι τοῖς φυσικοῖς τῶν ποδῶν ὅπλοις. ἅπαξ γὰρ ἐθισθέντες θηρᾶν, καὶ τῆς ἄγρας γευσάμενοι, ἐπειδὰν λιμώττειν ἄρξωνται, οὐδὲ τοῦ καθ' ἑαυτὸν φείδονται γένους διαμαχόμενοι. τροφὴν δὲ *ταχινὴν ὀρθρίοις διαλαμβανέτωσαν παρὰ τῶν θηρατῶν, νεαρὰν, καθ' ἑκάστην ἡμέραν ἀμειβομένην· ἵνα ἐν διαφόροις ζώοις διδομένη ἀβλαβὴς κατα-

στείη· ἐπειδήπερ μία τροφὴ προσφερομένη καὶ καταπολὺ διδομένη, ἀηδίαν καὶ ἀποστροφὴν παρέχει· ἡ δὲ ἐκ διαφόρων ζώων πλείονα τὴν ἐπιθυμίαν καὶ τὴν ὄρεξιν ἐμποιεῖ τοῖς ὀρνέοις. τὸ γὰρ ἡδέως λαμβανόμενον καὶ ῥᾳδίως χωνεύε- *πέττεται· λουτρὰ δὲ αὐτοῖς ἐκ ποτίμων ὑδάτων, ἢ ἐκ πηγῶν, ἢ ποταμῶν ἀενάων ἔστωσαν περὶ τρεῖς ἢ τέσσαρας ἡμέρας, ἐκκαθαίροντα αὐτῶν τὸν τῶν πτερῶν ῥύπον, ἵνα ἀνεμποδίστως καὶ ταχέως ποιῶνται τὴν πτῆσιν. ἡμερῶν δὲ διερχομένων ὀλίγων ὑφελών τι τῆς εἰωθυίας τροφῆς, ἔθιζε ὑπακούειν καλουμένοις. καὶ πρῶτον, ἢ ἀπὸ χειρός τινος πλησίον ἑστῶτος ἀνδρὸς διδασκέτω πηδᾶν εἰς τὴν τοῦ καλοῦντος αὐτὸν χεῖρα, ἐν ᾗ τὸ κρέας ἐστίν· ἐκμαθόντες δὲ τοῦτο αὐτάρκως, ἐκτείνειν σχοινίον λεπτότατον εἰκοσιπέντε πηχῶν τὸ μῆκος, καὶ ταύτην δεσμεῖν διά τινος σιδηροῦ κρίκου, ἢ δακτύλου τὴν περιφορὰν ἔχοντος λεπτοτάτην, καὶ ποιείσθω τὴν πτῆσιν· τὴν μὲν οὖν μίαν ἀρχὴν τοῦ σχοίνου δήσαντες ἅμα τῷ ἱέρακι, καὶ τὰ κρέα τῆς εὐωνύμου χειρὸς κατεχέτω δέρμασιν ἰσχυροῖς σκεπομένην διὰ τοὺς ὀβελοὺς τῶν βελῶν,

τὴν δὲ ἑτέραν ἀρχὴν τοῦ προῤῥηθέντος σχοινίου τῇ ἀριστερᾷ κατέχων ὁμοίως κρέατι ὁ θηρευτής, κρεμάτω ἠρέμα ταύτην, καὶ ἐπιδεικνύτω αὐτῷ τὴν τροφὴν μετὰ βοῆς μεγάλης συριγμῶν τε καὶ παρακλήσεων ἐκκαλείτω πρὸς ἑαυτὸν ἐν τάχει προσιόντα. οὕτω γὰρ ἐπιμελῶς διδασκόμενος, ὥσπερ τινὶ διατεταμένῃ τῇ σχοίνῳ, ὀρθὴν ποιεῖσθαι πρὸς τὸν ἄνδρα τὴν πτῆσιν μαθήσεται. κἂν ἀποφοιτᾶν θέλῃ πρὸς τὴν ἐξ ἀρχῆς ἐλευθερίαν τῆς φύσεως, μὴ δύνασθαι διὰ τὸν δεσμοῦντα τόνον τοῦ σχοίνου, δι' οὗ τὸ κρικίον τοῦ ἱέρακος πλήσιον συνολισθαῖνον ἀνεμποδίστως συνεπίσπαται προσάγειν αὐτὸν καὶ ἄκοντα τῇ τοῦ θηρατοῦ χειρί· ἐπειδὰν δὲ παραγένηται, καὶ λαβόμενος τοῦ κρέως, ἐμφορεῖσθαι θέλων, συγχωρείσθω, ὅσον ἀπογεύσασθαι δὶς ἢ τρίς, ὡς τῆς τροφῆς αὖθις ὑπομνησθῆναι, εἶτα ἐπιστημόνως ἀφαίρει τῶν ὀνύχων τὸ κρέας, ἵνα μὴ τοὺς πόδας αὐτοῦ, ἢ τοὺς ὄνυχας πλήξῃς, ἢ τὴν σεαυτοῦ χεῖρα, τὴν τροφὴν ἀφαιρεῖσθαι πειρώμενος. σκεπάσας τινι ἱματίῳ τὸ κρέας τοῖς ποσὶ τοῦ ἱέρακος ἠρέμα τοῖς δακτύλοις τῆς δεξιᾶς χειρός, καὶ τὸ μὲν τοῦ

κρέως τῆς ἀριστερᾶς χειρὸς δακτύλῳ ἐκκόπτε, τῷ δὲ μείζονι δακτύλῳ τῆς αὐτῆς χειρὸς εἰς τὸ κάτω ἔθιζε διατέμνειν, ὥσπερ τινὶ ξίφει τοῖς ὄνυξι, καὶ οὕτω τὸ κρέας τῶν ποδῶν περιαιρείσθω, καὶ ἐμβαλέσθω τῇ ἀπηρτημένῃ χειρὶ τοῦ θηρατοῦ εἰς τὸν εὐώνυμον τῆς χειρὸς ὦμον, ὅτι τὸν σχοῖνον αὐτὴν τῶν ἱμάντων ἐξάψαντες μόνοι περισκαλοῦνται τὸν ἱέρακα· ἔστι δὲ λίαν ἐπαχθὲς καὶ βλαβερὸν τῷ ζώῳ καὶ ὀλέθριον τὸ τοιοῦτον ἐφεύρεμα· ὅτε γὰρ πολλάκις ἕλκουσιν αὐτὸν φερόμενοι διὰ τάχους τῇ πτήσει πρὸς τὸν θηρατὴν κατασχεθεὶς ὑπό τινος λίθου ἐξεστηκότος τῆς γῆς, ἢ δένδρου τινὸς, ἢ βοτάνης καθέλκεται ἀπὸ τῆς πορείας, καὶ περισραγεὶς τῷ ἐδάφει ἀναιρεῖται. εἰ δέποτε ἐκ τοῦ παραδόξου διασωθεὶς τὴν γεγενημένην ἀποτυχίαν ἐκ τῆς πτήσεως ὥσπερ ἐκ μελέτης τινὸς ἔθος δεξάμενος, καὶ δι' ἀσφαλείας τὸν ἄνδρα ἐλπίζων ἀεὶ, ὁπόθεν ἑλκυσθήσεται. ἐπειδὰν δὲ ἐν ἔθει πολλῷ κατασταίη εἰς τὸ καλούμενον ὑπακούειν, καὶ τῆς φυσικῆς αὐτονομίας παντελῶς ἐπιλάθηται, τηνικαῦτα ἐλεύθερον τοῦ δεσμοῦ
* τοῦ σχοίνου ἐξάψαντες ἀπὸ ὑψηλοῦ τόπου ἢ

δένδρου καλοῦντες συνεθίζομεν τῆς φωνῆς αὐτὸν ἐπακούοντα διὰ τάχους πρὸς αὐτὸν ἔρχεσθαι· ἄριστα δὲ καὶ τοῦτο διδάξαντες, χρὴ λοιπὸν πρότερον ἐπὶ τὰ μικρὰ ἀφιέντες ὄρνεα τὴν θήραν διδάσκειν· κολοιοὺς δέ φημι καὶ κορώνας, καὶ τὰ ὅμοια τούτοις. εὑρὼν γὰρ ἐν τούτοις τὸ θρασὺ, καὶ μαθὼν παρὰ τοῦ θηρατοῦ, κατὰ τῶν μειζόνων εὐτολμότερος ὀρνέων χωρεῖ.

## Πῶς δεῖ κανονίζειν τοὺς ἱέρακας, καὶ πῶς χρὴ διδάσκειν θηρᾶν· καὶ πῶς δεῖ βοηθεῖν θηρῶσιν αὐτοῖς.

ΠΡΟ μιᾶς ἡμέρας τοῦ ἐξιέναι ἐπὶ τὴν θήραν ὀλίγης τροφῆς μεταδίδου τῷ ἱέρακι, καὶ διόλου τοῦτον φερέσθω ἐπὶ τῆς χειρός· τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ διὰ τὸ ἑαυτῷ συναγόμενον φλέγμα ὀλίγην πάνυ τροφὴν παρέχε αὐτῷ, ὅσον ποντικοῦ καρύου τὸ μέγεθος, καὶ ὁμοίως φερέσθω ἐπὶ τῆς χειρὸς, ἐν ἡσυχίᾳ σχεδὸν διὰ ὅλης τῆς ἡμέρας· νυκτὸς δὲ καταλαβούσης ἀταράχου ὕπνου μετεχέτω. τῇ δὲ ἑξῆς πρὸς ἀνατολῶν ἡλίου τὸν θεὸν ἐπικαλεσάμενος, τῇ θήρᾳ εὐμενῶς συλλήψοιτο, καὶ τὸν

ἱέρακα λαβὼν ὅρμα προθύμως ἐπὶ τὸν τῶν ὀρνέων ὁπλισάμενος πόλεμον· ὀλίγον δὲ προελθὼν τῆς πύλης, καὶ τοῦ κατὰ τὴν χοίνον δεσμοῦ ἐλεύθερον ἀποδείξας τὸ ζῶον, τοὺς ἀπηρτημένους ἱμάντας συναγαγὼν εἰς ἕν, καὶ τῷ τῆς εὐωνύμου χειρὸς καλύψας καλύμματι, τὰς τῶν ὀρνέων πανταχόθεν περισκόπει ὁρμάς. εὑρὼν δὲ ἐπιτήδειον τόπον πρὸς ἐνέδραν τὴν δεξιὰν χεῖρα προανασχὼν τὸν ἱέρακα, ἀλλαχόθεν τε ὁρᾶν πλαττόμενος, κλέπτων δολίοις ἠρέμα ὀφθαλμοῖς τὴν ἀκριβῆ θέαν πρὸς ἐπιχειρήσεις ἀσφαλέστερον πορεύου· ἐπειδὰν δὲ πλησίον τῶν ὀρνέων ἀφίκῃ, προσδραμὼν ῥαγδαίως τῶν ὀρνίθων τὸ πλῆθος διανίστα καὶ μετὰ συντονίας καὶ ἰσχύος πολλῆς ἐκ τῆς χειρὸς ἐκπέμψας τὸν ἱέρακα, βοῇ μεγάλῃ παρακέλευε ἐμβαλεῖν θαρσαλέως, ὡς πρὸς τοὺς πολεμίους ὄρνιθας. τοῦτο δὲ ποιήσας, σὺν πολλῷ καὶ αὐτὸς τῷ τάχει συνέπου τῷ ἱέρακι, καὶ πρὸ τοῦ παθεῖν τι ἀνήκεστον, πλησιάζων ἐπαμύνου αὐτῷ. ἐὰν γὰρ μόνον αὐτὸν καὶ γυμνὸν τῆς σῆς βοηθείας ἴδωσιν οἱ τοῦ ἁλόντος ὁμογενεῖς ὄρνιθες, γεράνῳ γέρανοι, καὶ χηνὶ χῆνες, ταῦτα

γὰρ μάλιστα τὰ δύο γένη φιλεῖ συναγελάζεσθαι ἀλλήλοις, κατεργάζονται αὐτοῦ. οὐ μόνον δὲ ἂν μὴ παρῇς σὺ ὁ θηρατὴς, τοῦτο πράττουσι τῷ ἱέρακι, ἀλλὰ κἂν πολλῷ τῷ διαστήματι ἔργοις ἐπαμύνειν τῷ ὁμοφύλῳ ὀργῶσι καταικόπτουσιν ἐγγύζοντες αὐτὸν κύκλῳ μασσῶνται τὰς αὐτοῦ πτέρυγας, καὶ τοῖς στόμασι βάλλοντες, ἀφέλκονται αὐτοῦ τὸν βίᾳ κατεχόμενον ὄρνιν, ἄχρις ἂν, σὺν αὐτῷ τῷ ὄρνιθι διαφθαρῇ, ἢ καταλήψῃ αὐτόν. πλησιάσας δὲ τῷ ἱέρακι, καὶ προσελθὼν ἠρέμα, ἀποσκεδάσας τε τὸ τῶν ἀγρίων ὀρνίθων γένος, εἶτα λαβὼν τὸν κατεχόμενον, ἐπὶ γῆς καταθεὶς, ἠρέμα θατέρῳ τῶν ποδῶν τὰ πτερὰ τῆς οὐρᾶς ἐπικουφίζων τοῦ ἱέρακος, ὡς μὴ θρύπτειν τὴν ἀκμὴν αὐτῶν· τούτοις γὰρ δέδωκεν ἡ φύσις, ὥσπερ πηδαλίοις χρωμένῳ, τὴν ἀέριον ἰθύνειν ὁρμὴν τῆς πτήσεως, ἐφ' ᾧ βούλεται μέρει τῇ τῶν πτερύγων τομῇ· ἔπειτα τὸ ξιφίδιον ἐξελὼν τῆς θήκης· ἐξηρτήσθω γὰρ καὶ τοῦτο κατὰ τῆς εὐωνύμου πλευρᾶς, ἕτοιμον πρὸς φόνον τῶν ἁλισκομένων ὀρνέων· πρῶτον μὲν τὸν φάρυγγα τοῦ ἁλόντος ὄρνιθος τέμνε, καὶ δίδου πιεῖν τῷ

ἱέρακι θερμοῦ ἀναβλύζοντος αἵματος, κἀκ τῶν περὶ τὸν τράχηλον κρεῶν. μετὰ ταῦτα δὲ καὶ τοῦ ἐγκεφάλου, καὶ τῆς καρδίας, ἥπατός τε καὶ γαστρός· ἔπειτα λεληθότως τῇ εὐωνύμῳ χειρὶ ἐμβαλῶν τὸ κρέας, ὡς ἔθος· ἐπεὶ οὐδαμῶς γε ἐλευθερῶσαι τὴν ἄγραν δυνήσῃ. χαυνώσας δὲ εἰς τοσοῦτον πετόμενος ὁ ἱέραξ, ἐκ τῆς παραυτίκα θοίνης καταχεῖν τὸ κρέας ἰσχυρῶς δυνηθῇ. εἶτα τῇ χειρὶ ἀφαρπάσας τοὺς πόδας τῆς κεκρυμμένης θήρας, ἔμβαλε κρέας λεληθότως, καὶ εὐφυῶς κλέπτων ὑπόκρυπτε, ὡς μηδ᾽ ὅλως αἰσθέσθαι τὸν ἱέρακα τοῦ σοφίσματος· εἶτα ἐφ᾽ ἑτέραν αὖθις ὁρμᾶν θήραν σπούδαζε αὐτὸν, ἵνα μὴ κορεσθεὶς ἀμβλήσῃ τῆς ἄγρας· χώρει δὲ ἐπὶ τὸ σπουδαζόμενον τῷ αἵματι τοῦ θηραθέντος ὀρνέου τοὺς πόδας τοῦ ἱέρακος ἐπιχειρῶν, πρὸς ὑπόμνησιν ἅμα καὶ προτροπὴν τῆς ἐσομένης θήρας, καὶ αὖθις· μνημονευτικὸν γὰρ τὸ ζῶον, καὶ λίαν εἰδὸς εὐαρμόστως τοῖς προσαίτοισι κεχρῆσθαι, ὕβρεώς τε καὶ κολακείας διακριτικόν. τρίτην δὲ ἢ τετάρτην τοῦ ἱέρακος τὸ πολὺ θήραν ποιησαμένου φείδου ἐφ᾽ ἑτέραν ἀπολύειν, κἂν πάνυ ὀρέγηται, διὰ

πολλὴν

πολλὴν προθυμίαν συνεχῶς τῆς χειρὸς ἀφιπτάμενος, ἵνα μὴ καμὼν ἄγαν ἐν μιᾷ ἡμέρᾳ, ἄχρηστος ἐπὶ πολὺ καταστάιη χρόνον· ἀναπαύεται γὰρ ἐν ἡσυχίᾳ τὸ τοῦ ἱέρακος σῶμα. τὰ γὰρ μοχθηρὰ τῶν καθ' ἕκαστα καμάτων καὶ εἰς χαλεπὴν αὐτοῖς ἐμβάλλει νόσον. εἰ δὲ συμβῇ ποτὲ ἀστοχῆσαι τῆς θήρας τὸν ἱέρακα διὰ πολλὰ τὰ συμπίπτοντα· εἰ γὰρ ὀξύτητι διώκων ἐξαίφνης ἀετὸν ἐθεάσατο, καὶ τῆς θήρας ἐπιλαθόμενος, φόβῳ τοῦ * κρεῖττον ἑαυτὸν σώζειν μᾶλλον, ἢ θήρας ἐπιτυχεῖν, ἢ πολλάκις ἀπὸ τῆς χειρὸς ἀτέχνως ἐκπεμφθεὶς, καὶ τὰς ψόας παραχρῆμα βλαβεὶς, τῆς ἄγρας ἀποτυγχάνει· ἔστι δὲ ὅτε καὶ τοῖς τῶν ἱμάντων δεσμοῖς συμπλακεὶς, ἁμαρτάνει τῆς θήρας· γίνεται δὲ καὶ ἄλλα πολλὰ πρὸς ἀποτυχίαν ἐμπόδια, ἅπερ κατὰ μικρὸν τοὺς σπουδαιοτέρους ἡ πεῖρα διδάξει· ἀνακτώμενος οὖν ἐπὶ μιᾶς ἡμέρας, ἢ τὸ πολὺ δύο, τὸν ἱέρακα τοῖς αὐτοῦ στέρνοις προσαγαγὼν ὁ θηρατὴς κολακευέτω λόγοις καὶ φωναῖς, καὶ ὡς πρὸς ἀελτέα καὶ ὄρνιν γενναῖον ποιείτω τὴν διάλεξιν, ὡς πονηροῦ τινος δαίμονος ἐπιβουλῇ διαμαρτάνοντα τῆς νίκης· καὶ γὰρ ἐπαίνων αἰσθά-

νεσθαι καὶ ὕβρεων ἱκανὸν πέφυκε τὸ ζῶον, καὶ τὴν ἐκ τῶν σχημάτων συνιέναι τῶν ἀνδρῶν βούλησιν, ὡς ἐν ἑτέρῳ δηλωθήσεται, τὰς διὰ λογισμῶν φυσικῶν πράξεις αὐτῶν ἐκτιθέμενοι. ἐὰν μὲν οὖν τὴν προσαχθεῖσαν ἀνάπαυσιν ἔχηται συνήθειαν ὁ ἱέραξ τῆς θήρας, μηδὲν διὰ τὴν ἀποτυχίαν λυπούμενος, ὡς ἂν ἔχοι χωροῦντος τοῦ σκοποῦ κατὰ βούλησιν· εἰ δὲ ὀργιλότερος, ἐξ ἀνάγκης μᾶλλον ἢ προαιρέσεως ἱπτάμενος φαίνοιτο διὰ τὸν προγεγενημένον κάματον, χωρὶς τροφῆς παραχρῆμα κορέσαι, ἐπὶ ἡσυχίᾳ μόνον μένειν αὐτὸν παρασκευαζέτω, καὶ ἐλθὼν ἐπὶ τὴν οἰκίαν θεραπευέτω, ὃν τρόπον ἑξῆς περὶ θεραπείας ἐνθήσομεν. δένδροις δὲ ἐφιπτάμενον μετὰ τὴν τῆς θήρας ἀποτυχίαν, ὡς ἀχθόμενον καλεῖν χρὴ τῇ προῤῥηθείσῃ τέχνῃ· εἰ δὲ συμβῇ βραδύτερον αὐτὸν τῆς φωνῆς ἀκούειν, διὰ τὸ πικρὰν καὶ τραχεῖαν πρὸς ὑπακοὴν ἔχειν τὴν φύσιν, ἢ διὰ τὴν γεγενημένην ἀποτυχίαν, ἢ διὰ τὴν ὕβριν τὴν αὐτῷ παρὰ τοῦ θηρατοῦ γεγονυῖαν. κινεῖ γὰρ ταῦτα πρὸς ἀπέχθειαν τὸν ἱέρακα, ἐφεζόμενός τε τῷ δένδρῳ ἐπὶ πολὺ τῆς ἡμέρας ἐνορᾷ μὲν

τῷ θηρατῇ φέροντι τὸ κρέας, καὶ ὑπακούει δὲ πρὸς τὴν κάθοδον, (τὴν ὀργὴν διὰ τῆς ἐπὶ πολὺ ἡσυχίας καὶ τῆς τῶν ὀφθαλμῶν ἐμβαινων ἐμβολῆς,) τότε χρὴ κρέας ἐνδυσάμενος εἰς σχοῖνον λεπτὸν ἐξ ἑνὸς μέρους, ἐκ δ' ἑτέρου λίθον, ἢ ξύλον, ὅπερ οὐ ῥαδίως κουφίσαι δύναται ἐκ ποδῶν ἀπιέναι. οὕτω γὰρ ἡσυχῇ μὲν ὁρῶν τὸν παρόντα τὸν ἄνδρα ἐπιπτὰς τὸ κρέας σχεθήσεται. ἐπεὶ δὲ ὥσπερ δεύτερον φύσει τὸ τῆς κακίας ἔθος φυλάττει, ἀφιέσθω πρὸς παιδοποιΐαν γενησόμενον ἐπιτήδειον· βέλτιον γὰρ γονὴν ἐξ αὐτοῦ προσδοκῆσαι, ἢ τοιούτῳ κακῷ κεχρῆσθαι πρὸς θήραν, αἰτίας οὐ τέρψεως παραιτίῳ καθεστηκότι. πολλοὺς ὡς οἶμαι τρόπους πρὸς θήραν ἱέρακος ἐξεθέμην· καιρὸς δὲ λοιπὸν καὶ πρὸς τὸ τῆς θεραπείας μεταβῆναι τρόποις, ἕκαστον πάθος οἰκείως ὅθεν τε γίνεται, καὶ ὅπως θεραπεύεται ἐκτιθέμενος, καὶ ἀναδιδάσκων σαφῶς.

## Εἰς δυσκλητιῶντα ἱέρακα.

ΛΑβὼν μισόδουλον βοτάνην, εἴτε ξηρὰν, εἴτε χλωρὰν, λείου καλῶς ἐπὶ * σῆθε, καὶ κυ-

μίνου τὸ ἴσον κόψας, καὶ σείσας ὁμοίως, καὶ μέλιτι φυράσας καλλίστῳ, δίδου ἐπὶ δυσὶν ἡμέραις.

## Ἄλλο.

Αγελοσταφίδος λευκῆς, κόκκοις δεκαπέντε. ἀλόης κεράτια τρία, γήπονου κοκκία δέκα, λασάρου κεράτια τρία, ὠοῦ τὸ λευκόν, οἴνου καλλίστου τὸ ἀρκοῦν, ἀφονίτρου λευκοῦ τὸ ἥμισυ, μέλιτος ὀλίγου· πάντα λειώσας καλῶς, καὶ τοῖς ὑγροῖς ἀναμίξας, διάχριε.

## Πρὸς διασύροντα.

Περιπλύξας τὸν ἱέρακα ὀθονίοις, εἰσάγαγε μικρὸν εἰς βαλανεῖον, καὶ οὐδέποτε φεύξεται.

## Εἰς ἄγριον καὶ μὴ ἡμερούμενον.

Περιπλύξας τὸν ἱέρακα ὀθονίοις ἄπαγε εἰς *καμεῖον, καὶ κρεμάσας αὐτόν, ἔασον ὑπὸ τῶν ψόφων ἡμερωθῆναι.

## Ἄλλο πρὸς ἀπολωλότα, πῶς εὑρεθῇ.

ΕΝ τῷ ἀστραγάλῳ σου τῷ ἀριστερῷ μικρὸν ξυλάριον λαβὼν ἀπὸ τοῦ κοντοῦ ἐν ᾧ περ-

σκαθέζεται δῆσον, λέγων, ὡς ὁ Ἰούδας οὐκ ἔ-
φυγε τὸν Χριστὸν, οὕτως καὶ σὺ γνώρισον ἐμέ.
οὐδεὶς γὰρ ὁρκισθεὶς φεύξεται.

### Πρὸς κλαίοντα καὶ φλυαρὸν περὶ τοῦ αἱρεσθαι τῆς στάσεως αὐτοῦ.

ΕΚ τοῦ αὔλακος σκόροδον λαβὼν, τρῖψον καὶ διάχριε, λέγων, πρὸς κλαυθμόν σε διαχρίω.

### Ἄλλο.

ΝΥκτερίδα θηρεύσας, παράβαλον αὐτὴν σταφίδος ἀγρίας κόκκοις τρεῖς, εἶθ' οὕτως, δὸς αὐτὴν φαγεῖν τῷ ἱέρακι, καὶ δῆσον αὐτὸν ἀπὸ τοῦ κοντοῦ· καὶ εἰ μὴ ταχὺ οὐ πέπλει, κλαύσει ἡμέρας δύο, καὶ ἔτι οὐ φλυαρήσει.

### Εἰς τὸ ἐμποιῆσαι ἐπιθυμίαν εἰς θήραν ἱέρακα ἄγευστον.

ΟΡνιν κατοικίδα θύσας, ὑπόδεξαι τὸ αἷμα αὐτῆς ἐν φύλλῳ οἱῳδήποτε, ἕως ἂν πήξῃ· μέλλων δὲ ἐπὶ θήραν ἐξιέναι, δίδου τῷ ἱέρακι ἐσθίειν ἐκ τοῦ πεπηγότος αἵματος· καὶ εὐόρεκτος καὶ πρόθυμος γενήσεται ἐν τῇ θήρᾳ * ἅτε προσυνηθεὶς τῇ τοῦ αἵματος ἡδονῇ.

## Πῶς δεῖ μετὰ τὴν θήραν ἀναλαμβάνειν καὶ ἀναζέφειν τοὺς ἱέρακας, καὶ ὅπως διαιτᾶν, καὶ οἵοις οἰκήμασι κλείειν.

Ἐπειδὰν ὁ καιρὸς τῆς θήρας τῶν ὀρνίθων ἥκῃ, ἐπὶ τὴν ἐπιδημίαν αὐτῶν στελλόμενος· χηνῶν τέ φημι καὶ νηττῶν, καὶ γεράνων, καὶ τῶν ἄλλων. φέρων καθ' ἑκάστην ἡμέραν ὁ θηρατὴς τὸν ἱέρακα, ἐξίτω ἐπὶ τὴν θήραν κοράκων δηλαδὴ καὶ κορωνῶν, τῶν ἀεὶ διαμενόντων τοῖς ἐξ ἀρχῆς τόποις, καὶ οὐκ εἰδότων τὴν τῶν ἄλλων ἀποδημίαν μιμήσασθαι ζώων. τοῦτο δέ μοι καλάνδων μαΐων ποιείτω. ὥσπερ παρέργῳ χρώμενος τῇ τοιαύτῃ θήρᾳ, μέχρι τῆς κατακλείσεως· μετὰ δὲ ταῦτα οἰκίσκον ἐκλεξάμενος καλὸν λίαν, καὶ εὐρύχωρον· εἰ δὲ μὴ οἷόν τε κἂν σύμμετρον, κατακλείειν ἑαυτῷ τὸν ἱέρακα ἔχοντα πρὸς ἀνατολὴν ἡλίου θύραν, ῥάβδοις οὐχ ὑέλῳ διαπεφραγμένον, ἵνα καὶ φῶς ἔχῃ αὐτάρκως, καὶ διαφυλάττηται ἀσφαλῶς· τὴν γὰρ ὕελον ῥήγνυσι τραυτικὰ περιπλάμενος καὶ παίζων, καὶ προσρηγνύμενος αὐτῇ* ὥσπερ κατάδικος ἄρτι τῶν δεσμῶν ἀφε-

θείς· τοῦτο δὲ ποιήσας, ἄπεισιν ἢ τοῖς τῆς ὑέλου θρύμμασιν ἐμπεσὼν, καὶ ὥσπερ ὑπὸ ξίφους τρωθεὶς διαφθείρεται. ἔστω δὲ ξύλον μέσον διή-κον ὅπου ἵσταται, καὶ ὕδωρ ἀδιαλείπτως ἐν ἀγ-γείῳ ξυλίνῳ κείσθω καθεκάστην ἀλλαττόμενον· τὸ δὲ μήτε βαθὺ ἔστω, μήτε ἐπιπόλαιον παν-τελῶς· ἔστω δὲ πλατὺ καὶ ἄκοιλον καὶ εὐρύχω-ρον, ὡς μὴ λουόμενον τὸν ἱέρακα, ἢ τὸ στῆθος βλάψαι, ἢ τὰ νεωστὶ φυόμενα τῶν πτερῶν διαστρέψαι· οἷα γὰρ ἂν ῥυθμισθῇ φυόμενα, τοιαῦτα καὶ διαμένει. ἐσθίειν δὲ ἐν τῇ ἐγκλείστρᾳ κρέας θερμόν· εἰ δὲ μή, τὸ πρὸ μιᾶς ἡμέρας τυθέν· παρὰ ἡμέραν δὲ δίδου καὶ κρέας χοί-ρειον νεαρόν· ἐν τῇ ἐγκλείστρᾳ γὰρ ὠφελεῖ τὸ χοίρειον· δίδου παρ' ἡμέραν περιστερὰς καὶ μῦς, καὶ κυνίδια, ὡς ἔχουσιν ἔθος ῥίπτειν, καὶ γῆρας δὲ ὄφεως, ὅπερ ἔθος ἔχει ἀποβάλλειν, κοπὲν, εἰς λεπτὰ, εἶτα συμμιγὲν κρέασιν, ὠ-φελεῖ. ἄριστα δὲ αὐτὸς λήψεται ἀλλάσσων τὰ πτερά.

### Ἄλλο.

Χελώνην ἀπὸ ξηρῶν τόπων ληφθεῖσαν, καὶ τοῦ ὀστράκου γυμνωθεῖσαν ὑπ' ἥλιον πρὸς

θοίνην παράθου τῷ ἱέρακι· ἡ ποιότης γὰρ τοῦ κρέως, καὶ ὁ χυμὸς, καλὰ καὶ θᾶττον ποιεῖ ἀλλάττειν τὰ πτερὰ ὅλου τοῦ σώματος· ἄλλως δὲ οὐ χρὴ ποιεῖν ἐπὶ ἐγκεκλεισμένον ἱέρακα, ὥς τινες τῶν ἀτέχνων ταλαιπωροῦντες. ἄμεινον δὲ δι' ἐπιμελείας καὶ τρυφῆς θεραπεύειν αὐτὸν φυσικῶς, ποιῶν ἄνευ ὀδύνης τὰ πτερὰ μεταβάλλειν, ὡς μετ' ὀλίγον εἰρήσεται. μόνα δὲ τὰ ἀπὸ τῆς οὐρᾶς κεκλασμένα ἑλκύσας ἠρέμα, καὶ αὐτὰ δι' ἀνάγκην· ὅρα δὲ μὴ αἱμάξῃς τὸν τόπον. ὕστερον γὰρ φύονται στρεβλὰ μετὰ τοῦ αἵματος· ἐὰν δὲ αἱμάσσωνται, * θέλεις αὐτὸν εἶναι διόλου ἥμερον, ἵνα μετὰ ἔξοδον, μὴ πολλοῦ δεηθῆναι κόπου· μίαν δὲ καὶ δευτέραν ἡμέραν ἀπὸ χειρὸς δίδου φαγεῖν. ταῖς δὲ ἄλλαις, δέσμει τὸ κρέας ἐπὶ τοῦ ξύλου, ἵνα λαμβάνῃ ἐκεῖθεν, καὶ μὴ ἐπὶ τῆς γῆς τεθέν· ῥυπαρίας ἐξ αὐτῆς μετάσχῃ, καὶ βλάψῃ τὸν ἱέρακα. διαμένει γὰρ πρᾶος ἐκ τῆς συνηθείας, οὕτως ἀγόμενος, καὶ τοῦ καιροῦ καλοῦντος ἕτοιμος εὑρεθήσεται, μὴ πολλῶν καμάτων πρὸς διόρθωσιν χρήζων· λαμβανόμενον γὰρ ἀπὸ τῆς ἐγκλείστρας, τῷ αὐτῷ τρόπῳ τοῖς ἐξ ἀρχῆς θη-

ρευομένοις

ἐφεμβρύοις παιδευέσθω καὶ ἡμερούσθω. ἀποβαλὼν δὲ τὰ πτερά, καλὸς γενήσεται ὥσπερ κυπὴν ἤγουν οὐρὰν· (καούδα γὰρ παρὰ Ῥωμαίοις ἡ οὐρά,) ἔχων μεγάλην τῷ πρώτῳ ἐνιαυτῷ, τῷ δὲ δευτέρῳ, λεπτοτέραν· τοῖς δὲ ἑξῆς ἔτεσι τὴν αὐτὴν ἔχει ἰδέαν τῆς κουπίας μήτε αὔξων μήτε μειῶν τὸ σχῆμα τῆς κουπίας.

## Ἐξ ἄλλου ἀντιγράφου ἀρχαιοτέρου.
## Πῶς ὀφείλει ἐγκλείεσθαι, καὶ ποταπὰ εἶναι τὰ ἔγκλειστα δεῖ.

Ἀγαθὸν καὶ συμφέρον ἐστὶ φῶτα καὶ βόρεια καὶ μεσημβρινὰ ἔχειν τὸ ἔγκλειστον, ἢ ζεφυρεῖα, καὶ ἀνατολικά, διὰ τὸ μέσως ἔχειν τὸ ὄρνεον ὑγρασίας καὶ θερμῆς, ἀλλὰ καὶ τέλειον εἶναι δεῖ τὸ ἔγκλειστον, διὰ τὸ καὶ δύο καὶ τρία κοντάρια χωρεῖν, ἵνα ἔχῃ ποῦ μεταπηδᾶν καὶ καθίζειν ὁ ἱέραξ. ὠφελεῖται γὰρ μέγιστα ἀπὸ τῆς γυμνασίας ταύτης. τὸν δὲ ἱέρακα ὅταν δόξῃ σοι σιτίζειν, ἐπὶ τὸ μαδῖσαι, κάθαιρε αὐτὸν τῷ γεγραμμένῳ καθαρτηρίῳ ἐπιμελῶς φυσῶν τοὺς μυκτῆρας, ὥστε μηδὲ τὴν τυχοῦσαν ἐμμεῖναι περείαν ἐν τοῖς κροτάφοις αὐτοῦ, καὶ με-

τὰ τὸ καθᾶραι ποίησον αὐτὸν κἂν ἐπὶ πέντε ἡμέρας κορεσθῆναι περδίκων· καὶ ἵστα αὐτὸν, καθαροῦ ὄντος τοῦ ἀέρος νυκτὸς εἰς ὕπαιθρον τόπον, ὥστε μήτε αἰσθέσθαι αὐτὸν μηδ' ὅλως καπνοῦ δριμύτητος· μετὰ δὲ κόρον τῶν περδίκων, δὸς αὐτῷ κρέας χοίρειον, μέχρις ἂν γένηται λιπαρὸς πάνυ, καὶ ἄρξηται ἀφ' ἑαυτοῦ ῥίπτειν τοὺς καλυπτῆρας· καὶ τότε λοιπὸν μάδιζε ὅλα τὰ πτερὰ τῶν ἐλαττόνων παρέξ, καὶ ὀλίγων καλυπτήρων ἔστις τῶν ἐλαττόνων· σπασθεὶς γὰρ καλῶς ἀνωδύνως μαδίζεται. ἀφ' οὗ δὲ μαδισθῇ, λαβὼν οἶνον στύφοντα ἐν τῷ στόματί σου, προσπόπιζε αὐτὸν εἰς τοὺς μαδισθέντας τόπους, ὥστε στύψαι αὐτοὺς μετὰ τοῦ οἴνου, διὰ τὸ μήτε αἱμορραγῆσαι, μήτε ὕλην θεῖναι, καὶ ἵστα αὐτὸν ἐν κονταρίῳ μίαν ἢ δύο ἡμέρας, καὶ οὕτως ἀπόλυε εἰς τὸ ἔγκλειστρον, ὑποθεὶς στρογγύλον πότιστρον, ἐν ᾧ ὀφείλει λούεσθαι· ἔστω δὲ τὸ πότιστρον, πλάτους τριῶν ποδῶν, καὶ βάθους σπιθαμῆς μιᾶς· καὶ ὅταν ἐξ ἀρχῆς ἀπολυθῇ ὁ ἱέραξ εἰς τὸ ἔγκλειστρον, ὀλίγον ὕδωρ πάνυ ἐχέτω, βάθος ἔχον ὕδατος δύο ἢ τρία δάκτυλα, διὰ τὸ πίνειν, καὶ μὴ λούεσθαι· ὅτε δὲ

ἴδῃς φύεσθαι τὰ πτερὰ αὐτοῦ καλῶς, τότε λοιπὸν γέμιζε τὸ πότιστρον, ἵνα καὶ λούηται. καθ' ἡμέραν δὲ ἀλλασσέσθω τὸ ὕδωρ, καὶ πλυνέσθω τὸ πότιστρον ἐπιμελῶς· ἐπεὶ ἐὰν ἀφοδεύσῃ εἰς τὸ ποτιστήριον, καὶ ἢ πίῃ, ἢ λούσηται, εὐθέως τὸ πάθος τῆς κονύζης λαμβάνει καὶ φονεύεται· τρωγέτω δὲ ἐν τῇ χειρὶ τοῦ ἱερακοτρόφου ὢν ἐν τῷ ἐγκλείστρῳ καθαρὸν πάντως κρέας, καὶ συνεχέστερον θερμοφαγέτω· ἐὰν γὰρ φάγῃ ῥυπαρὸν κρέας, λίθους ποιεῖ καὶ ἀπόλλυται. ἐὰν δὲ μὴ φάγῃ εἰς τὴν χεῖρα τοῦ ἱερακοτρόφου, ἀλλ' ὥς τινες ποιοῦσι, δεσμεύοντες ἐν τῷ κονταρίῳ τὸ κρέας, ταχέως ἀγριοῦται ὁ ἱέραξ, καὶ ὁρῶν εἰσερχόμενον τὸν ἄνθρωπον ἐν τῷ ἐγκλείστρῳ, ἑαυτὸν περιρρήγνυσιν ἀγριούμενος τῇ * ἀληθείᾳ, καὶ λιπαρὸς ὢν γίνεται ἐμπαθής.

## Πρὸς τὸ συνεργῆσαι τὴν ἀποβολὴν τῶν πτερῶν, καὶ ταχὺ ἐκβαλεῖν αὐτὸν τῆς ἐγκλείστρας.

ΕΑΝ ἐν τῇ ἐγκλείστρᾳ τὸ ὄρνεον οὐ ταχὺ ἀποβάλῃ τὰ αὐτοῦ πτερά, χρῶ τῇ διαίτῃ ταύτῃ· περιστερὸν μὲν ποίει ἐσθίειν τὰ περιειρη-

μένα ὡς εἴρηται, ἔπειτα λειπέτω τὸ ὕδωρ αὐτὸ, καὶ μετὰ ἡμέρας ἑπτὰ λαβὼν ἀμπέλων κλήματα, καὶ καύσας τὴν τέφραν αὐτῶν διελόμενος καθαρὰν, ἵνα μή τις ἄλλη ὕλη συνεπακολουθήσῃ, ἀνάμιγνυε ταύτην μετὰ ὕδατος, καὶ παρατίθου τῷ ἱέρακι. ἕτεροι δὲ τῶν ἱερακοτρόφων θαλάσσιον ὕδωρ παρατιθέασι τῷ ζώῳ ἐν τῇ ἐγκλείστρᾳ· εἰ δὲ οὐκ ἔστιν εὐπορεία θαλασσίου ὕδατος, ἅλας εἰς ὕδωρ ἐμβάλλουσιν· οὕτω γὰρ ἐκ παντὸς τρόπου παρατιθεμένης τῷ ἱέρακι τῆς ἀπὸ τῶν κλημάτων στακτῆς, καθὼς προείρηται, ἢ ἀπὸ τοῦ πίνειν, ἢ ἀπὸ τοῦ λούεσθαι χαυνωμένου τοῦ σώματος, ἀλλάσσει ταχὺ τὰ πτερά· πίνων δὲ ταῦτα οὐδέποτε λιθιάσῃ· μετὰ δὲ τὴν ἀποβολὴν τῶν πτερῶν, καθαρὸν παρατίθει ὡς καὶ πρὸ τοῦ αὖθις ὕδωρ.

## Ἄλλο εἰς τὸ αὐτό.

Λαβὼν ἄγνου ἤγουν λυγίας σπέρμα συντεθλασμένον, ἀπόβρεξον αὐτὸ ἐν ὕδατι ποτίμῳ· εἶθ' οὕτως διυλίσας πόπισον περιστερὰν, καὶ ἔασον αὐτὴν διανυκτερεῦσαι, καὶ τῇ ἐπαύριον δίδου τὴν περιστερὰν πρὸς θοίνην τῷ ἱέρακι.

## Ἄλλο.

Λαβὼν σαύραν χλωρὰν, βάλε αὐτὴν ἐν καινῇ χύτρᾳ μετὰ ὕδατος θερμοῦ, καὶ ἔασον ἀναζέσαι καλῶς. εἶτα λειώσας αὐτὴν ἐν θυΐᾳ, καὶ μίξας αὐτὴν μετὰ τοῦ ζέσματος αὐτῆς εἰς λεκάνην, ἐπέμβαλε ἕτερον χλιαρὸν ὕδωρ, καὶ καταδύων ἐν αὐτῷ τὸν ἱέρακα λούε, καὶ ταχὺ ἀποβαλῇ αὐτοῦ τὰ πτερά.

## Ἄλλο.

Ὀπὸν βαλσάμου μετὰ κρέως δὸς αὐτῷ φαγεῖν ἐπὶ συχνῷ, καὶ ταχέως ἐκπέμπει αὐτοῦ τὰ πτερά.

## Πρὸς τὸ πτερορυῆσαι τὸν ἱέρακα τάχιστα.

Σαύραν κατατεμὼν εἰς λεπτὰ μὴ ἔα ἐν τοῖς ὄνυξιν αὐτοῦ λαβεῖν τὸν ἱέρακα, ἀλλὰ καὶ ἐν τῷ στόματι· ἐὰν γὰρ ἀπογαλακτήσῃ τὸ κρέας τῆς σαύρας τῷ ἱέρακι, βλάβην ἐμποιεῖ· συσφίγγει γὰρ εἴσω τὸν πόδα. ἀλλὰ κόπτε εἰς μικρὰ, ὡς μὴ δύνασθαι αὐτὸν κατασχεῖν τοῖς ὄνυξιν, ἀλλὰ τῷ στόματι τοῦτο λαμβάνειν.

### Ἄλλο εἰς τὸ αὐτό.

Νεοσσοὺς χελιδόνων κατὰ πολὺ παράβαλε τῷ ἱέρακι.

### Περὶ ποσότητος τροφῆς καὶ συμμέτρου διαίτης ἱέρακος.

Ἐσθιέτω ὁ ἱέραξ ἐν τρυταίνης προβατείου κρέατος οὐγγ. θ΄. αἰγείου ι΄. τράγου οὐγγ. θ΄. ἐλαφείου οὐγγ. κ΄. λαγωοῦ οὐγγ. ε΄. χοίρου μεγάλου οὐγγ. ϛ΄. νεαροῦ. οὐγγ. ζ΄. κυνείου νεκροῦ. οὐγγ. η΄. * ὀρκῶν οὐγγ. ϛ΄. τὰ δὲ πτηνῶν, ἤγουν γεράνων, χηνῶν, περιστερῶν, περδίκων, φασσῶν, τρυγόνων, κοσσύφων, ψαρῶν κορυδύδων, παραφυλαττόμενος ἐπιμελῶς καὶ συνεχῶς ὀστέα, ἢ τρίχας, ἢ πτερά· μὴ κινεῖσθαι δὲ τὸν ἱέρακα ἄχρις ἂν ἐκεῖνα πρότερον ἀναμέσῃ τὰ περιττώματα, καὶ ἀγνοοῦντι τῷ θηρευτῇ δι' ἀπειρίαν, ὑποψίαν παρέξει νόσου· ἀτονία γὰρ καὶ ἀνορεξία περιγίνεται τῷ ἱέρακι· τὸ δὲ ἐσθίειν τὸν ἱέρακα πτερὰ σὺν τῷ κρέατι, καὶ ὀστέα καὶ τρίχας λίαν ἐστὶν ὠφελιμώτατον. τραχεία γὰρ οὖσα τῇ τροφῇ ταύτῃ καὶ ξηρᾷ τὸ περὶ τὸν στό-

μαχον ἐγκαθήμενον φλέγμα καὶ προσιζάνον σὺν αὐτοῖς ἐκπεφθὲν διασώζει τὸν ἱέρακα ἐκ νόσων χαλεπῶν.

## Πῶς ὀφείλει τρέφεσθαι ὁ ἱέραξ.

Ἐχρῆν διδόναι ζωφίον τῷ ἱέρακι μετὰ τὸ βαστάζεσθαι ὥραν τετάρτην, εἶτα δεσμευθῆναι τὸ συνηθικὸν τοῦ μέχρις ἂν πέψῃ· ἔστω δὲ κάτωθεν τούτου ὀθόνιον· ὁ δὲ κοντὸς ἔστω ἐκ φυλλερέας, ὁμαλὸς, μήτε λίαν παχὺς, μήτε λίαν λεπτός. εἰ δὲ δυσαπεπτῇ, βαλεῖν εἰς τὸ κρέας μέσον μαλάχης ἡμέρου ἁπαλὸν, καὶ συνεσθίει· ὠφελεῖ γὰρ πολλὰ εἰς τοὺς κόπτοντας τὰ ἴδια πτερά· χειμῶνος δὲ ὄντος πρὸ μιᾶς ἡμέρας τοῦ ἐλθεῖν εἰς θήραν διδόναι αὐτῷ σίλην, τὸ λεγόμενον σιπόνομον* ἐστιν ἃ θέλει, καὶ ἀλόην καθαρὰν μετὰ τὸ μέγεθος τοῦ ὀρνέου, ἤγουν ἐὰν ᾖ μέγα, ὅσον κύαμον· εἰ δὲ ἐλάττων, ἴσον ἐρυβίνθου. καθαιρέσθω δὲ καὶ διὰ μυὸς, ἢ ἐλαίου καλοῦ, ἢ μέλιτος.

## Περὶ τοῦ, ὧν τροφῶν δεῖ ἀπέχεσθαι, καὶ δι' ἣν αἰτίαν.

ΚΡέας ὄζον οἱουδή τινος ζώου μὴ δὸς φαγεῖν τῷ ἱέρακι· λοιμικὴν γὰρ νόσον τίκτει καὶ λίθοις. καὶ τὰ ἐντὸς αὐτοῦ σήπει, καὶ διαφθείρεται τὸ ζῶον ἐξαίφνης. καὶ μετὰ ἅλων κρέας μὴ διδόσθω· παραπεμφθέντων γὰρ ἔνδον τῶν ἁλῶν, καὶ διαλυθέντων, συναποσβέννυται τὸ πνεῦμα τοῦ ἱέρακος, καὶ ἅλες καθ' ἑαυτοὺς κρεῶν δίχα δοθέντες τῷ ἱέρακι, τὰ σπλάγχνα διαφθείρουσι. λίπος κρέως οἱουδήποτε ζώου, ἀνοικεῖον πρὸς τροφὴν αὐτοῦ· ἐκλύει τὴν συμπεπτικὴν δύναμιν, καὶ φύσιν τοῦ στομάχου· ἔλαιον διδόμενον πολέμιον καθέστηκε τῷ ἱέρακι διὰ τὴν τῶν ἁλῶν σύμμιξιν.

## Περὶ ἐπιτηδείας τροφῆς, καὶ ἐν ποίῳ καιρῷ ἁρμόζει δίδοσθαι τῷ ἱέρακι.

ΕΣτι μὲν τὸ κρέας οὐ πάντοτε συμβαλλόμενον· τὸ μὲν χοίρειον τότε δίδοται τῷ ἱέρακι, ὅταν ᾖ λεπτός. λιπαίνει γὰρ πάνυ· δίδοται δὲ ἐν χειμῶνι, ἐπὶ τὸ τρέφειν τὰ σώματα

τῶν ἱεράκων, ὅταν διατακῇ τῷ κρύει· τὸ δὲ βόειον δίδοσθαι σπανίως· πρὸς τὸ καθᾶραι γὰρ τοῦτο συμβάλλεται. καταφέρει γὰρ τὸν ἱέρακα, ἐὰν συμπαγῇ. δίδοσθαι δὲ δεύτερον, ἢ τὸ πλέον τρίτον τοῦ μηνός· τὸ δ' αἴγειον, ἢ τὸ προβάτειον, παντοίῳ καιρῷ ἁρμόζει διδόμενον. παρὰ πάντα δὲ ἡ θερμοφαγία συμβάλλεται, ἢ τῶν νεοττῶν περιστερῶν, καὶ ἐν θέρει καὶ ἐν χειμῶνι· καὶ ἡ συνεχὴς δὲ ἀποβολὴ τῶν πτερῶν τῶν ὀρνίθων. οὐδέποτε δὲ ὠφελεῖ δίδοσθαι, ἢ κόρακος, ἢ κορώνης κρέας· εἰσὶ γὰρ πάνυ ἐπιβλαβῆ· τὸ δὲ τοῦ χηνὸς σφόδρα ὠφέλιμον.

### Πρὸς λειποπτεροῦντα ἱέρακα.

ΠΤύξας τὸ ζῶον εὐφυῶς, τοὺς καυλίσκους τῶν πτερῶν ἀξουγγίῳ ἄρκου κατάχριε, καὶ παράχρημα πτεροφυήσει.

### Πρὸς ξεφιλὼ πτερῶν.

ΒΑτου ῥίζας ἀποτειπώσας μετ' οἴνου, διάβρεχε τὰς ὀπὰς, καὶ ταχὺ τὰ ἁπαλὰ τῶν πτερῶν τραφήσονται.

### Προκαθαρτικὸν διδόμενον τῷ ἱέρακι περὶ τοῦ ἐγκλεισθῆναι.

Πρὸ ἡμερῶν εἴκοσι τοῦ μέλλειν αὐτὸν ἐγκλείεσθαι, λαβὼν ὠοῦ τὸν κρόκον, καὶ ὀλίγον μέλι, καὶ ῥοδίνου τὸ ἶσον· ἀμφότερα συμμίξας, ἔμβαλε ἐν αὐτῷ κρέατος νεαροῦ μέρη τρία, καὶ δίδου τῷ ἱέρακι ἐσθίειν ἡμέραν παρ᾽ ἱμέραν· καὶ ὅταν ἴδῃς ὄντα αὐτὸν πλησίον τοῦ ἐγκλεῖσαι, περὶ τριῶν ἢ τεσσάρων ἡμερῶν, προβάτου ἐγκέφαλον ἔπι θερμὸν ὄντα καθ᾽ ἑκάστην ἡμέραν δίδου εἰς τροφὴν τῷ ἱέρακι.

### Ἄλλο εἰς τύφλωσιν πτερῶν.

Λαβὼν ἐλαίου καὶ βουτύρου τὸ ἶσον, καὶ βελόνην, περὶ τὸν διανοίξας τὴν θέσιν τοῦ τυφλωμένου πτεροῦ εὐφυῶς ἔμβαλε.

### Περὶ τροφῆς ἁρμοδίας τῷ ἱέρακι.

Κρέα τοὺς ἱέρακας νεαρὰ χρὴ ἐσθίειν· εἴ που δ᾽ ἀνάγκη καταλάβῃ ἐνδείας, δύο ἡμερῶν διδόσθω· τριῶν δὲ οὐδ᾽ ὅλως. λιθοποιὸν γάρ ἐστι τὸ τοιοῦτον, καὶ πάσης νόσου λοιμικῆς

καὶ διαφθορᾶς αἴτιον· ἔστω δὲ τὰ κρέα ἀρνῶν καὶ προβάτων, τράγων τε καὶ βοῶν, καὶ χοίρων μικρῶν μὲν ἀεὶ καὶ νεαρῶν ἅμα ταῖς θριξὶ, μεγάλων δὲ, τούτων χωρίς· ὅταν δὲ ὦσι λεπτοὶ ἀπὸ καμάτου, ἐπὶ μιᾶς μόνης ἢ καὶ δευτέρας ἡμέρας δίδοσθαι. ἐὰν γὰρ πλείονας ἡμέρας δοθῇ, ἐξαγριοῖ τὰς ψυχὰς αὐτῶν, ἄλλως τε δὲ καὶ διὰ τὸ λίθοις ἐμποιεῖν ἐφ' ἑξῆς, πολλῶν ἡμερῶν δοθέντα· ἑκάστῳ δὲ τῶν προειρρηθέντων παρ' ἑκάστην ἡμέραν ἀλλαττόμενον διδόσθω. τὸ γὰρ βόειον ἐπὶ πολλὰς ἡμέρας διδόμενον, ἀπεψίας γεννητικόν. τὸ δ' αἴγειον τοὺς ἐν τῇ γαστρὶ λίθοις διαλύει δοκίμως, ὑδαροῖ δὲ τὸν στόμαχον, καὶ ἀνόρεκτον ἀπεργάζεται· τὸ δὲ προβάτειον συνεχῶς διδόμενον, γεννᾷ λίθους· χρὴ δὲ αἷμα τράγου παραυτίκα δεξαμένους τῆς σφαγῆς διδόναι παγέν· μάλιστα γὰρ τοῦτο διαλύειν τοὺς λίθους πέφυκεν· ὡς γὰρ ἱστορεῖται, ὁ ἀδάμας λίθος ὑπὸ τούτου μόνου κατεργάζεται. λαγῶον δὲ πᾶν κρέας σὺν αἵματι διδόμενον, δίχα ὀστέων καὶ μυελῶν, ὠφέλιμόν ἐστι. ταῦτα γὰρ φασὶ βρωθέντα σκώληκα γεννᾶν ἐν τῇ τοῦ ὄρνιθος κοιλίᾳ, ὑφ' ὧν τὸ ζῶον

ἀπόλλυται, λανθανούσης τῷ θηρατῇ τῆς αἰτίας. ἐλάφειον δὲ κρέας εἰς κόρον μὴ διδόσθω· βαρύπεπτον γάρ· διδόσθω δὲ εἰ συμβαίη, καὶ ἀρκτώων θερμὸν ὀλίγον· εἰς κόρον δὲ καὶ αὐτὸ βαρύτατόν ἐστι· κυνῶν δὲ μικρῶν ὅλον τὸ αἷμα θερμὸν σὺν τοῖς κρέασιν ἐσθιέτωσαν· ὠφέλιμον γὰρ εἰς τὸ λῦσαι λίθους ἐν τῇ γαστρὶ, ὥσπερ τὸ τράγειον· μυῶν δὲ καὶ καθ' ἑκάστην διδομένων ὠφέλιμον μόνον σὺν ταῖς θριξί· ὠφελεῖ γὰρ πάντα τὰ ἐντός· εἰ δὲ μή γε, παρ' ἑκάστην* καθαίρει φλέγμα, χολήν· ἀναστέλλει ῥεῦμα, φλέγμα, λύει λίθους, καὶ κόρυζαν ἐρχομένην ἀποπέμπεται· στόμαχον ἐκλυθέντα ἀναῤῥώννισι, καὶ ἁπλῶς εἰπεῖν, σωτήριος ἐστὶ διδόμενος τῷ ἱέρακι· ὀρνέων δὲ περιστερὰ ἐσθιομένη ὠφελιμωτάτη ἐστὶ, σὺν τοῖς ποσὶν* ταῖς πτέρυξιν εἰς λεπτὰ συγκοπέντων· καὶ διδόμενον, κἂν πρὸς ὀλίγον δίψαν ἐμποιεῖ τῷ ἱέρακι. κόρακος δὲ καρδίαν καὶ ἐγκέφαλον, ἧπάρ τε, καὶ βραχὺ λίαν τῶν στηθιδίων λάμβανε τῶν κρεῶν. τοῦ δὲ αἵματος αὐτῶν μηδόλως πινέτω. ἁλμυρὸν γάρ ἐστι καὶ ὀλέθριον τῷ ἱέρακι, ὥσπερ καὶ πάντα τὰ ἁλσὶ μεμιγμένα· ὡσαύτως καὶ τὰ τῶν

κορώνης φυλαττέσθω· ὀστέων δὲ, ἢ τῶν ἐντὸς,
μηδὲν λαμβανέτω· καυστικὰ γάρ ἐστι, καὶ ἀ-
ρρητον δίψαν βλαβερὰν ἐμποιοῦντα· τῆς δὲ
νύσσης πάντα τὰ κρέα καὶ τὸ αἷμα ὠφελιμώτα-
τόν ἐστι, καὶ τὰ τῆς γεράνου, καὶ τοῦ χηνός, ἄνευ
πολλοῦ αἵματος ὠφέλιμά ἐστι· πλείονος γὰρ
ἐμφορηθεὶς αἵματος ὁ ἱέραξ χηναίνου, τὴν
καρδίαν βαρύνεται, ὥσπερ οἱ μεθύοντες τῶν
ἀνδρῶν σκιάζονται τὸ τῆς ψυχῆς λογιστικόν, καὶ
ἀτάκτως φέρονται· οὕτω κἀκεῖνος ἀνεπιτή-
δειος γίνεται πρὸς τὴν θήραν, ἄχρις ἂν πέ-
ψιν ποιήσῃ· περδιόλης δὲ ληφθείσης, ἥνπερ καὶ
λάκρην τινὲς τῶν ἐπιχωρίων προσηγόρευσαν,
ἐροδιὸν δὲ οἱ παλαιοὶ τῶν ἑλλήνων ἐκάλε-
σαν, ἐγκέφαλον ἅμα τῇ καρδίᾳ καὶ τῷ ἥπατι
ἐσθιέτω. καὶ τοῦτο δι' ἀνάγκην τοῦ μὴ λιπεῖν τὸν
ἱέρακα, καὶ πρόθυμον ποιεῖ πρὸς τὴν θήραν·
λίαν γὰρ ἄχθεται κορυφῆς μεταλαβεῖν τῆς ἑαυ-
τοῦ θήρας· τῶν δὲ λοιπῶν κρεῶν ἀπεχέσθω, φθο-
ροποιοῖς οὖσι τῷ ἱέρακι· λάρου δὲ ἁλόντος τὴν
καρδίαν ἅμα τῷ αἵματι, καὶ ὀλίγοις ἐκ τοῦ
στήθους κρέασιν, ἐσθιέτω· τὰ γὰρ λοιπὰ αὐτοῦ
βρώμοι ἐστὶ καὶ βαρέα· *αἰθυίας δὲ λαμ-

βουνέπωσιν εἰς κόρον. γλυκύτατον γάρ ἐστι καὶ εὔπεπτον. καὶ ὠτίδος, καὶ κίσσης τὸ πᾶν κρέας χρησιμώτατον· φάσσης δὲ, καὶ κοσσύφου, καὶ ὄρνιθος κατοικιδίας καιρῷ διδομένης, ὠφελιμώτατον· μόνην ἀφαιρεῖ τὴν κεφαλὴν αὐτῆς καὶ τοὺς πόδας, καὶ τὰς πτέρυγας, ἵνα μὴ αἴσθηται ἥμερον ὄρνιν ἐσθίειν, καὶ τῶν ἀγρίων ἀμελήσας, περὶ τὰς καλύβας ἵπταται.

## Διάγνωσις καὶ θεραπεία εἰς κεφαλαλγίαν ἱέρακος.

Η κεφαλαλγία πολέμιον καὶ ὀλέθριον τῷ τῶν ἱεράκων καθέστηκε γένει, καὶ ὅσοι μὲν ἔγραψαν ἀδιορίστως περὶ κεφαλαλγίας, πλείονα τὴν βλάβην ὑπὲρ τὴν ὠφέλειαν εἰργάσαντο τοῖς ζώοις τούτοις· οὐ γὰρ κατὰ μίαν διάθεσιν κεφαλαλγοῦσιν, ἀλλὰ διὰ πλείονας αἰτίας. διά τοι καὶ ἴασις ἐστὶν αὐτῶν ἑκάστη. καὶ γὰρ ἀλγεῖ τὴν κεφαλὴν, ὅταν συνεχέστερον ἐγκρύπτῃ ταῖς πτέρυξι τὴν κεφαλὴν, καθὼς ὑπνώττει, εἰ μὴ συνήθως αὐτὴν ἀνατείνῃ· γίνεται δὲ τοῦτο ἀπὸ κακοχυμίας πολλῆς, ἐξ ἀνεπιτηδείων τροφῶν ἀθροισθείσης, καὶ τῇ κεφαλῇ

περιπεσούσης, ἢ δι' ἔμφραξιν τῆς διεξόδου ἀτμῶν δριμυτέρων περιπεσόντων τῇ κεφαλῇ. γίνεται ἢ διὰ ψύξιν ἄμετρον συμβαίνουσαν ἐν κυνηγίῳ, καὶ ῥευματίζεται· ἐνίοτε δὲ καὶ ἀπὸ θέρμης καύματος ἡλίου καὶ ἀπὸ καπνοῦ· ποιεῖ δὲ φλυκταίνας ἐν τῷ σώματι, καὶ ἀπὸ ὀσμῆς οἴνου πολλοῦ, ὅπερ ἐστὶ καὶ ἐπικίνδυνον· εἰ γὰρ μὴ ταχέως νοηθῇ παρὰ τοῦ θηρατοῦ, εἰς τὸ ἀποστῆσαι τὸν ἱέρακα τῆς ὀσμῆς, διαφθείρεται, τῶν κατὰ φύσιν κορεστικῶν καὶ ἀναπνευστικῶν ὀργάνων διαφθειρόντων. θεραπεύεται δὲ, εἰ τὸν ἀπὸ σιδήρου ἀσόστον τρίψας ἐν ἰγδίῳ καλῶς ξηρὸν τὸν οὐρανίσκον αὐτοῦ ἀνατρίψῃς, εἶθ' οὕτως οἴνῳ παλαιῷ ἐμφυσῶν, θεράπευε ὡς ἔθος αὐτῷ.

## Περὶ τῶν διὰ σφηνώσιν φλεβῶν κεφαλαλγούντων.

Ἱέραξ καρηβαρῶν, καὶ κατηφὴς τὴν ὄψιν γινόμενος, ἀνέλκων τε μόλις καὶ καταστῶν τὰ τῆς κεφαλῆς τῶν ὀφθαλμῶν βλέφαρα, τὰς φλέβας τὰς ἐν τοῖς κροτάφοις ἐνσφηνωθείσας σημαίνει, καὶ ὑπὸ τούτου διοχλεῖσθαι τὴν κεφαλήν· θεραπεύσεις οὖν τοῦτον τοῦτον τὸν τρόπον· λα-

τῶν οἶνον παλαιὸν εἰς τὸ στόμα, ἐμφύσα τὴν κεφαλὴν, τοὺς ὀφθαλμοὺς, καὶ τὰς ῥῖνας σὺν τῷ στόματι, καὶ λούειν παρ' ἑκάστην ἡμέραν, καὶ θεραπεύσεις.

## Πρὸς ῥεῦμα κεφαλῆς διάγνωσις καὶ θεραπεία.

Ἐπειδὰν ἀπεπλήσῃ λεληθότως· συχνότερον γὰρ τὸ τοιοῦτον πάθος περιγίνεται ἡμέρας ἀκαταστασία λοιμώδεις, ἢ κρεῶν ῥυπαρῶν μεταλήψει· διαγινώσκεται δὲ οὕτως· ἐὰν τὰ ὑπὲρ τοὺς ὀφθαλμοὺς κοιλώματα τῆς κεφαλῆς τοῦ ἱέρακος πεπληρωμένα ὑπάρχῃ, ἢ ἐν τῷ ἕλκειν τὸ κρέας, ὥσπερ σταγόνες τινὸς ὕδατος ἀποπίπτωσι, ἢ ὅταν ὡς νεφέλαι ὑδατώδεις παρεκάσῃ* πληροῦντες αἱ τῶν ὀφθαλμῶν αὐτοῦ κόραι· ἐὰν ἔν τι τούτων τῶν σημείων γένηται, οὕτως θεραπευέσθω ξηρῷ βοηθήματι. κόσου γρ. πέντε· φύλλου ἰνδικοῦ γράμμ. πέντε· ξηρὸν κόκκον δάφνης γράμμ. τρία· σαφίδος ἀγρίας γράμμ. α'. ταῦτα βάλλειν ἐν ὅλμῳ* ἰγδίῳ καὶ κόπτε καὶ κοπάνιζε καὶ κοσκίνιζε, καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, καὶ ἔχε ξηρόν· ἐπὶ

δὲ τῆς

δὲ τῆς χρείας λάμβανε ἐξ αὐτοῦ, καὶ τρίβε τὸν οὐρανίσκον αὐτοῦ, εἶτα μέλιτι ὑπάλειψον τὴν φάρυγγα, καὶ θεραπεύσεις· ἐκ δὲ τοῦ ξηροῦ αὐτοῦ, ἔμβαλε καὶ εἰς τοὺς μυκτῆρας αὐτοῦ, καὶ ἵστα ἐν ἡλίῳ ὥραν μίαν, καὶ ὡραῖος γενήσεται.

## Εἰς ῥεῦμα κεφαλῆς ἱέρακος.

Ἱέραξ, ἐὰν ῥευματίζηται τὴν κεφαλὴν, ὑγρὸν πολὺ ἐκβάλλει διὰ τῶν ῥινῶν· θεραπεύσεις οὖν τούτῳ τῷ βοηθήματι· * γλυκύρριζον κόψας, καὶ σείσας μετὰ κρέως δίδου φαγεῖν· ἐὰν δὲ μείνῃ τὸ ῥεῦμα, νάρδου σταγόνας τρεῖς εἰς τὰς ῥῖνας αὐτοῦ ἔνσταζε, καὶ ἵστα αὐτὸν εἰς ἥλιον εὐδίας οὔσης καὶ νηνεμίας ἐπὶ ὥρας δύο· καὶ ἐὰν ὁμοίως ἔχῃ, ἔγχρισον· καὶ τῇ ἑξῆς θερμοφαγέτω περιστερὰν, καὶ ἰαθήσεται.

## Ἄλλο.

Πεπέρεως λευκοῦ· καρυοφύλλου τὸ ἴσον λειώσας, ἐμφύσα διὰ καλαμίσκου εἰς τοὺς μυκτῆρας αὐτοῦ· σημεῖον δὲ δείκνυσιν. ὑδρορροεῖ ἐκ τῶν ῥινῶν· οἶνον δὲ παλαιὸν ἐν τῷ στόματι αὐτοῦ λαβὼν, προσφύσα ὁμοίως εἰς τὰς ῥῖνας αὐτοῦ, καὶ ἵστα αὐτὸν ἐν ἡλίῳ.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

## Διάχεισον πρὸς καρηβαροῦντα ἱέρακα τρυφερόν.

ΔΑφνης κόκκοις ἑπτὰ, σαφίδος ἀγρίας κόκοις πέντε, σκορόδου ὀλίγον, κυμίνου τὸ ἀρκοῦν, ὀπὸν βαλσάμου οὐγγ. δύο, μέλιτος κοχλιάριον ἕν· ταῦτα συγκόψας ἐν ὅλμῳ καθαρῷ, καὶ σείσας, ἀναφύρα τοῖς ὑγροῖς, καὶ ἀναπτύξας τὸ στόμα τοῦ ἱέρακος, διάχεε τὴν ὑπερῴαν αὐτοῦ ἐπιμελῶς.

## Διάχεισον ξηρόν.

ΣΤαφίδος ἀγρίας κόκκον ἕνα· πεπέρεως κόκκοις ἑπτὰ· κόστου φύλλα· ναρδοστάχυος ἀνακεράτια δύο· καστορίου κεράτιον ἕν· ταῦτα κόψας καὶ σείσας, χρῶ ξηρῷ, διαχείων τὴν ὑπερῴαν αὐτοῦ.

## Ἕτερον διάχεισον ξηρόν.

ΣΚόροδον ὀρεινὸν λαβὼν, καῦσον αὐτὸ καὶ τρῖψον, καὶ μίξας μετὰ λασαρίου τὸ ἴσον, διάχεε τὸν ἱέρακα.

### Εἰς ῥευματιζομένοις ἱέρακας.

Κνίδης κόκκοις δεκαπέντε τρίψας καλῶς, δίδου μετὰ κρέως φαγεῖν εἰς μέρη τρία· εἰ δὲ οὐκ εὐπορεῖοις, τῆς κνίδης τὸ σπέρμα, ῥέον ποντικὸν τρίψας, μετὰ κρέως ὁμοίως δίδου αὐτῷ φαγεῖν.

### Ἀποφρακτικὸν κεφαλῆς ἐχούσης ὑγρά.

Ἁλὸς καππαδοκικοῦ, ἐλαίου ὀμφακίνου, ᾠοῦ τὸ λευκόν. ταῦτα τῷ ἴσῳ σταθμῷ βαλὼν, καὶ μέλιτος τὸ ἀρκοῦν, ἀνάφυρε ὁμοῦ εἰς ἀγγεῖον, καὶ μετὰ κρέως δίδου τῷ ἱέρακι ἐσθίειν.

Διάχριστον προφυλακτικὸν κατὰ πάσης νόσου ἐν παντὶ καιρῷ χριόμενον εἰς τὸ παντελὲς διατηρεῖν τοὺς ἱέρακας, καὶ ἐν πάσῃ κεφαλῇ καθαῖρον τὰ ἐν αὐτῇ ἱδρυμένα ὑγρά· καθαίρει δὲ καὶ καπνιαθέντα τὸν ἱέρακα. ἰᾶται κόρυζαν, ῥεῦμα ὀφθαλμῶν ἵστησιν· ἡ δὲ σύνθεσις αὐτοῦ αὕτη.

Πεπέρεως οὐγγ. ἕξ· λασάρου κεράτια τρία· καρυόφυλλα οὐγγ. δ΄. κόκκου οὐγγ. δύο· κα-

στερεοῦ οὐγγ. δ΄. ζιτζιβέρεως οὐγγ. δύο· σταφίδος ἀγρίας κόκκους κε΄. πηγάνου ξηροῦ οὐγγ. δύο. ταῦτα πάντα κόπτε ἐν ὅλμῳ καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ· εἶτα ἀνάφυρε μετὰ μέλιτος ἀκάπνου καὶ οἴνου παλαιοῦ τὰ ἀρκοῦντα ἐν θυΐᾳ, καὶ χρῶ διαχρίων τὴν ὑπερῴαν, καὶ κατασχὼν πρὸς τὴν κάτω τὴν ἄνω γένυν, μύξησον τὰς ῥῖνας πρὸς τὸ διαπεμφθῆναι τὸ διάχρισμα, καὶ οὕτως στῆσον αὐτὸν ἐν ἡλίῳ· ποίει δὲ τοῦτο χειμῶνος μὲν ἅπαξ τοῦ μηνός· ἐν θέρει δὲ μηδόλως. μετὰ δὲ τὸ ἐξελθεῖν αὐτὸν ἐκ τῆς ἐγκλείστρας, διάχριε λεπτοτέρῳ γινομένῳ ἀφελόντι τοῦ διαχρίσματος τὸ πύρεθρον καὶ τὴν σταφίδα καὶ τὸ ζιτζίβερι καὶ τὸ πήγανον· καὶ τοῖς ἐναπολειφθεῖσι μόνοις ἀναλαβόμενος διάχριε, καὶ ἵστα αὐτὸν ἐν ἡλίῳ· μετὰ δὲ τὴν αὐτάρκη στάσιν, κρέας ψυχρὸν δίδου φαγεῖν, καὶ ὕδωρ ψυχρὸν πότισον. μετὰ δὲ τὴν χειμερινὴν ὥραν διαχρισθεὶς θερμοφαγείτω μικρὰν περιστερὰν, μὴ συγχωρῶν ὕδωρ δοθῆναι κατ᾽ ἐκείνην τὴν ἡμέραν.

Εἰς καρηβαροῦντα ἱέρακα καὶ ῥέγχοντα.

ΠΕπέρεως, σταφίδος ἀγρίας, γηπονόμου, φύλλου ναρδοστάχυος· καρυόφυλλον, πη-

γαίου σπέρμα, πλατυκύμινον, σαγαπηνοῦ, βαλαυστίου, μαράθρου σπέρμα, κοριάνου σπέρμα, πετροσελίνου σπέρμα. ταῦτα πάντα τῷ ἴσῳ σταθμῷ μίξας, καὶ κόψας καὶ σήσας, ὕποθου ξηρόν· ἐπὶ δὲ τῆς χρείας ποτὲ μετὰ μέλιτος διάχριε, ποτὲ δὲ ξηρῷ θεράπευε.

### Ξηρίον * καθαῖρον τὴν κεφαλὴν τοῦ ἱέρακος καὶ κόρυζαν.

Σχοίνου ἄνθος οὐγγ. δʹ. ζιτζιβέρεως οὐγγ. γʹ. κόστου οὐγγ. δʹ. φύλλου γράμμ. γʹ. σταφίδος ἀγρίας οὐγγ. γʹ. βαλσάμου γράμμ. αʹ. ῥοὸς βυρσοδεψικῆς γράμμ. αʹ. τραγακάνθης γράμμ. δʹ. πεπέρεως γράμμ. δʹ. πετροσελίνου γράμμ. δʹ. μέλιτος τὸ ἀρκοῦν. τὴν τραγάκανθαν ἔχε προβεβρεγμένην, καὶ τὰ ξηρὰ κόψας ἐπίβαλε τοῖς ὑγροῖς, καὶ ἀναλαβόμενος χρῶ καθὼς προείρηται, τοῦτο καὶ ἐπιχριόμενον καὶ διδόμενον μετὰ κρέως, μεγάλα ὀνήσει.

### Καθαρτικὸν κεφαλῆς ἱέρακος ἐν παντὶ καιρῷ.

Σταφίδος ἀγρίας κόκκοις καθαρισμένοις δʹ. πεπέρεως κόκκοις δʹ. ἀρσενικοῦ χρυσοῦ

τὸ ἀρκουῶ. ὁμοῦ καλῶς λειώσας μετ' οἴνου στύφοντος, καὶ ἀναλαβὼν, ὥστε γενέσθαι ὑγρὸν συμμέτρως, δύο ῥανίδας ἐξ αὐτοῦ ἔμβαλε εἰς τοὺς μυκτῆρας τοῦ ἱέρακος, ἢ ἐμφύσησον εἰς τὰς ῥίνας αὐτοῦ πρὸς τὸ ἀναφθῆναι διὰ τῶν ἔσωθεν πόρων τὸ καθαρτήριον εἰς τὴν ὑπερῴαν αὐτοῦ. τοῦτο γὰρ ἐκτινάξει πᾶσαν τὴν ἐγκειμένην αὐτῷ παχύτητα, καὶ μυξώδη ὑγρότητα· περὶ δὲ τοῦ καθαρτικοῦ τούτου, καλὸν κεχρῆσθαι τῇ ἀγωγῇ ταύτῃ. λαβὼν νίτρον λευκὸν, καὶ οἶνον παλαιὸν, τὸ μὲν νίτρον τετριμμένον λίαν διὰ τῶν ῥινῶν αὐτοῦ διάπεμπε ἐμφυσῶν· τὸν δὲ οἶνον ἐν τῷ στόματί σου λαβὼν, ὁμοίως ἐμφύσα καὶ αὐτόν· ἢ πτεροῖς βεβρεγμένοις ἐν οἴνῳ ἀποσπόγγιζε τὰ περὶ τὸ στόμα καὶ τὸν λάρυγγα· καὶ ὅταν καλῶς ἴδῃς τὴν ἐπιπολάζουσαν μυξώδη ὑγρότητα καθαρεῖσαν, χρῶ τῷ εἰρημένῳ καθαρτικῷ συνθήματι, καὶ ἐν παντὶ καιρῷ ἐπιτηδείῳ ὄντι, καὶ ἁπλουστέρῳ μὲν, ἀναγκαιοτέρῳ δὲ καὶ δραστικωτέρῳ συντρέχοντι, καὶ τῇ πείρᾳ δεδοκιμασμένῳ, καὶ θαυμαστῶς ἐνεργοῦντι.

Διάχρισμα περιφυλακτικὸν μουτάτων ἱεράκων.

ΚΟστου γράμμ. α΄. ἀγρίας σταφίδος κόκκους ιβ΄. καστορίου γράμμ. α΄. εὐφορβίου γράμμ. α΄. λασάρου γράμμ. α΄. ταῦτα κόψας καὶ σήσας, διάχριε τῶν ἱέρακα. περιφυλακτικόν ἐστι κατὰ πάσης νόσου.

Διάχρισμα περιφυλακτικὸν πούλων ἱεράκων.

ΦΥλλου γράμμ. ϛ΄΄. πεπέρεως γράμμ. α΄. καρπὸν βαλσάμου γράμμ. α΄. λασάρου γράμμ. ἐν ϛ΄΄. κόψας καὶ σήσας, ἀνάλαβε μετὰ μέλιτος τὸ ἱκανόν, καὶ διάχριε.

Εἰς ἐπιληπτικὸν ἱέρακα.

ΕΑΝ ἐπιληπτικὸς ᾖ ὁ ἱέραξ, νυκτερίδα πάσας ἕψε, καὶ δίδου φαγεῖν, καὶ θεραπευθήσεται.

Ἄλλο.

ΕΓκέφαλον ἐρίφου λαβὼν, πρῶτον διαβιβάσας εἰς δακτύλιον χρυσοῦν, δὸς φαγεῖν τῷ ἐπιληπτικῷ ἱέρακι· καὶ θαυμάσεις.

## Εἰς μωρανθέντα φυσικῶς.

Λαβὼν ἁρπακτικὸν ὕδωρ, περιπότισον ὅλον τὸν ἱέρακα, εἶθ' οὕτως κάπνισον αὐτόν. *

## Ἐὰν παθῇ ὁ ἱέραξ.

Κύπρου τε μόσχου, καὶ βοτάνης δριμυτάτης καλουμένης, καὶ οἰνάνθης ὑγρᾶς, καὶ γάλακτος αἰγείου, καὶ οὔρου καὶ κόπρου ἀνθρωπείου τῷ ἴσῳ σταθμῷ λαβὼν, τὰ ξηρὰ τρίψας καὶ μίξας τοῖς ὑγροῖς, ἐγχυμάτισον τὸν ἱέρακα.

## Πρὸς σκότωσιν ἀπὸ χυμοῦ περισσεύοντος.

Σημεῖον τοῦτο δείκνυσιν ὁ ὄρνις. σκοτοῦται καὶ στῆναι οὐ δύναται. λαβὼν ἀγρίας σταφίδος κόκκους ε', κόψας τε σήσας αὐτούς· καὶ μέσον τοῦ κρέως βαλὼν, δίδου φαγεῖν· εἰ δὲ ἀποστρέφεται τὴν τροφὴν, τε οὐ λαμβάνει αὐτήν, εἰς σφαῖραν βραχυτάτην τὸ κρέας διαπλάσας, τε εὐφυῶς διαστείλας τὸ στόμα τοῦ ζώου, ἀνάγκασον λαβεῖν· καὶ μετὰ μίαν ἢ δευτέραν

ὥραν,

ὥραν ὄψῃ παραδόξως ἐξεμέσαντα τὸν χυμόν, καὶ ἐλευθερωθέντα τοῦ πάθους. εἶθ' οὕτως θερμὴν καὶ νεαρὰν ζωφίου δίδου.

## Εἰς ὀφθαλμῶν πάθος.

ΟΥΚ ὀλίγοις δοκεῖ μοι πάθεσι περιπίπτειν τὸν ἱέρακα τοῖς ὀφθαλμοῖς· ἃ γὰρ κἂν τοῖς ἄλλοις τῶν ζώων, ταῦτα καὶ αὐτῷ συμβαίνει. οἱ οὖν ἀμαθῶς περὶ τούτων γράφοντες, τὰ πλείω παρέλιπον· ἐγὼ δὲ τὰ ἐκείνων ἀσαφῆ καὶ ἀμαυρὰ ὡς οἷόν τε διασαφήσω καὶ λευκανῶ.

## Περὶ λευκώματος καὶ νεφέλης ἱεράκων.

ΤΑΣ ἐπὶ πολλοῖς γινομένας αὐτοῖς ἐν ὀφθαλμοῖς τῶν ἱεράκων παρεμποδίσεις εἰς τὸ ὁρᾶν, οἱ μὲν νεφέλας καλοῦσιν, οἱ δὲ λευκώματα. ταῦτα δὲ συμβαίνει, ἢ ἀπὸ λευκώματος, ἢ ἀπὸ ῥήγματος. θεραπεύσεις δὲ οὕτω· λαβὼν μέλι ἀττικὸν, ἄκαπνον, καὶ κροκοδειλιάρας κόπρου λευκῆς, τὰ ἴσα μίξας, ἐν ἰγδίῳ τρίβε ἐπιμελῶς, ἕως γλυῶδες γένηται, καὶ μετὰ πτεροῦ ἐπίχριε τοὺς ὀφθαλμοὺς αὐτοῦ. εἰ δὲ

προσκρούσας τὸν ὀφθαλμὸν ἀλγεῖ καὶ δακρυ-
ρροεῖ, ἅλα καππαδοκικὸν μασήσας καλῶς,
προσφύσα τὸν ὀφθαλμὸν αὐτοῦ, ἢ τὸν ἅλα
αὐτὸν λύε μετὰ ὕδατος, καὶ δΐυλιζε, πρὸς τὸ
μὴ ῥύπον τινὰ ἐμπεσεῖν τῷ ὀφθαλμῷ, εἶτα
τῷ στόματι * λαμβάνειν ἐκ τοῦ δϊυλίσματος, καὶ
προσφυσᾶν τῷ ὀφθαλμῷ αὐτοῦ. ἕτεροι δὲ τοὺς
αὐτοὺς ἅλας εἰς παρόψια μετὰ ὕδατος λύσαν-
τες πτερῷ ἐγχείουσι τὸν ὀφθαλμὸν, καὶ ποιοῦσι
τοῦτο τῆς ἡμέρας πολλάκις· βέλτιον ἐν τῷ
στόματι λαμβάνειν τοὺς ἅλας, καὶ προσφυ-
σᾶν, διὰ τὸ μὴ κρατεῖσθαι αὐτὸ συνεχῶς, καὶ
τὰς τῶν ἀνθρώπων ὄψας καὶ * χείλη φοβεῖσθαι.

## Ἐὰν λευκανθῇ ὁ ὀφθαλμὸς, ἢ ἀπὸ πληγῶν, ἢ ἀπὸ αἵματος.

ΣΗπίας ὄστρακον λαβὼν, καὶ αὐτοῦ τοῦ ἱέρα-
κος τὸν ἀπόπατον, τὸ ἴσον καθαρῶς καὶ εὐ-
φυῶς ἀνελόμενος, ἵνα μὴ ῥύπος συνεπακολου-
θήσῃ σοι, καὶ χαλβάνης καθαρᾶς, καὶ μέλιτος ἀ-
κάπνου τὰ ἴσα βαλὼν ἐν θυΐᾳ, λύων καλῶς,
εἶτα πτερῷ ὑπάλειφε τὸν ὀφθαλμὸν, καὶ ἀποκα-
ταστήσεις αὐτὸν ἐν ὀλίγαις ἡμέραις ὑγιῆ.

Ἄλλο.

Χρυσολαχάνου σπέρμα λαβὼν, τρίψον καλῶς, καὶ σήσας λεπτῷ κοσκίνῳ, ἐπίπασσε τὸν ὀφθαλμόν.

Ἄλλο.

Λιβάνου καθαροῦ, καὶ σηπίας ὄστρακον τὰ ἴσα κόψας, καὶ σήσας λεπτῷ κοσκίνῳ, ἐμφύσα τὸν ὀφθαλμόν.

Εἰς τὸ αὐτό.

Κισσὸν διαμασησάμενος, τὸν χυλὸν προσφύσα τῷ ὀφθαλμῷ, καὶ θεραπεύσεις.

Ἄλλο.

Κισσοῦ χυλὸν, καὶ πηγάνου χυλὸν, ἴσα μίξας, ἐγχυμάτιζε τὸν ὄρνιν.

Ἄλλο.

* Οκυάμοις μέλανας καύσας, καὶ ἐν ἴσῳ μέλιτι μίξας, χρῶ.

Ἄλλο.

Ἀμμωνιακὸν ἀποβρέξας μετὰ γυναικείου γάλακτος, καὶ λειώσας ἐν θυΐᾳ, πτερῷ ἐμβρέχων, ὑπάλειφε τὸν ὀφθαλμόν.

## Ἄλλο.

Μέλιτι ἀκάπνῳ ὑπάλειφε τὸν ὀφθαλμόν.

## Ἄλλο.

Ἄμπελον ὑγρὰν λαβών, καὶ καύσας καλῶς, τὴν τέφραν ἀνελόμενος, μετὰ γήρως ὄφεως τετριμμένου, μίξας τὰ ἴσα, μετὰ πτεροῦ περίπεμπε τῷ ὀφθαλμῷ ἠρέμα δὶς τῆς ἡμέρας. τοῦτο δὲ ἐνεργέστερον ποιήσης, ἐὰν τὴν κεφαλὴν πρότερον τοῦ ἱέρακος καθάρῃς τῷ γεγραμμένῳ διαχρίσματι· πάντα γὰρ ὑφαιρεῖ, καὶ στέλλει τὸ κατερχόμενον ἐκ τῆς κεφαλῆς ῥεῦμα.

## Ἄλλο.

Γῆρας ὄφεως λαβών, ξήρανον καὶ κόψον αὐτό, καὶ σήσας, ἔχε ξηρόν· φυλάττων αὐτὸ ἀδιάπνευστον· ἐπὶ δὲ τῆς χρείας ἐμφύσα τῷ ὀφθαλμῷ, ἢ μέλιτι μίξας ἔγχριε τῷ πτερῷ.

## Ἄλλο.

Ἄρτον καύσας, * ἅλατι ἀμμωνιακῷ συλλεάνας, καὶ προσμίξας ἀλόην ὑπατικὴν χρῶ, ἀποκαθαίρει γάρ.

## Ἄλλο.

Σηπίας ὄστρακον, μαράθρου χυλὸν, κρόκου, σμύρνης, τῷ ἴσῳ μέλιτι μίξας, λειώσας χρῶ.

## Ἄλλο.

Χολὴ κυνεία μέλιτι συμμιγμένη, καὶ ἐπιχριομένη, αἴρει λευκώματα.

## Ἄλλο.

Τρυγόνος ὄρνιθος ἀπόπατος σὺν μέλιτι ἀλειφόμενος λευκώματα ἰᾶται.

## Ἐὰν πληγῇ ὁ ὀφθαλμὸς τοῦ ἱέρακος ὁποιωδήποτε τρόπῳ.

Ἄλος ἀμμονιακοῦ μασησάμενος, ἐμφύσησον τῷ ὀφθαλμῷ, εἶτα μέλιτι ἀκάπνῳ μικρὸν ὑπάλειφε.

## Ἐὰν φλεγμαίνῃ ὀφθαλμός.

Ὀπὸν βαλσάμου ἐγχυμάτιζε τῷ ὀφθαλμῷ, καὶ τὴν ὑπερῴαν αὐτοῦ ὑπάλειφε τῷ αὐτῷ.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

### Ἄλλο.

Ἀγριελαίας φύλλων ὁ χυλὸς, φλέγμονας στέλλει καὶ τραυμάτει ἐγχειόμενος.

### Ἄλλο.

Ἀνεμώνης ῥίζα ἐν οἴνῳ γλυκεῖ ἑψηθεῖσα, καὶ ἐπιχριομένη, φλέγμονας καταστέλλει.

### Ἐὰν ἐξαίφνης φλεγμαίνῃ ὁ ὀφθαλμός.

ΑΝδράχνης φύλλα χυλώσας, καὶ ὄπιον, καὶ κρόκοις, τὰ ἀρκοῦντα μίξας τῷ χυλῷ, ἔγχειε.

### Ἄλλο.

Σπόγγος ὀξυκράτῳ χλιαρῷ βρέξας, περίθες τῷ ὀφθαλμῷ.

### Πῶς δεῖ καίειν τοὺς ῥευματιζομένους ὀφθαλμούς.

ΛΑβὼν ῥαφεῖον ὀξὺ ἐκ χαλκοῦ πυροῦ, καὶ ἐκπυρώσας αὐτὸν καλῶς, τοῦ πάσχοντος μέρους τὸ ἐπάνωθεν τοῦ ὀφθαλμοῦ ἐπικείμενον δέρμα καῦσον, καὶ * ἀναστελήσεται τὸ ῥεῦμα τοῦ ὀφθαλμοῦ.

## Εἰς ἀμβλυωπίαν.

Ἀμβλυοπεῖν πολλάκις συμβαίνει τοῖς ἱέραξιν ἀπὸ καπνοῦ πολλοῦ καὶ δριμύτητος, καὶ ἀπὸ ὑγρᾶς κορύζης. ὁπόταν ῥεῦμα πολὺ καὶ δριμὺ περὶ τοὺς ὀφθαλμοὺς ἐπέλθῃ. θεραπεύσεις δὲ, ὑπαλείφων μέλι ἄκαπνον, καὶ κρόκον, καὶ σχοίνου ἄνθος, καὶ λευκὸν ὠοῦ, καὶ χυλὸν μαράθρου, ποτὲ δὲ ὁμοῦ, ποτὲ δὲ χωρίς.

## Ἐὰν ἀπὸ κρούσματος αἱματωθῇ ὀφθαλμὸς τοῦ ἱέρακος.

Νεοττὸν περιστερᾶς λαβὼν, καὶ ἀπὸ τῶν ἀγκώνων τὰ πολλὰ ἐκτίλλας πτερὰ, καὶ πτύξας τὸν ἱέρακα εὐφυῶς, ἔκθλιβε τοῖς δακτύλοις ταῦτα, καὶ ἀποστάζον ἐξ αὐτῶν αἷμα ἐμπίπτειν τῷ ὀφθαλμῷ τοῦ ἱέρακος ποίει· μετὰ δὲ δύο ἢ τρεῖς * λαβὼν δρόσον τὴν ἐπικειμένην τοῖς λαχάνοις, ἔκπλυνε συνεχέστερον πεπονθότα ὀφθαλμὸν παρ' αὐτῆς.

## Εἰς ὑπόχυσιν ὀφθαλμῶν ἱέρακος.

Ὑπόχυσις λέγεται, ὅταν ἀπαθῶν φαινομένων τῶν ὀφθαλμῶν οὐχ ὁρᾷ τὸ ζῷον ἐν τοῖς

ἔνδον μέρεσι τοῦ ὀφθαλμοῦ, ἐμπεσούσης ὕλης τινὸς παχείας ἀφανοῦς, κωλυούσης τὴν ὅρασιν· ἐὰν οὖν ἐπιχυθῇ τοῖς ὀφθαλμοῖς ὁ ἱέραξ, καὶ συνεχέστερον ὡς καθεύδειν μέλλων ποιεῖ, καὶ ἀνεῳγμένοις ἔχων τοὺς ὀφθαλμοὺς οὐχ ὁρᾷ, μέλι καὶ ῥόδα εἰς πηγαῖον ὕδωρ ἀφεψήσας, ἱκανῶς ἀπὸ τοῦ ὕδατος τούτου πτερῷ ἔγχελε τοῖς ὀφθαλμοῖς αὐτοῦ.

Ἄλλο.

Λαβὼν μέλι ἄκαπνον, καὶ χολὴν γυπὸς τὸ ἴσον, ἔγχελε μετὰ πτεροῦ εὐφυῶς πρωῒ καὶ ἑσπέρας, καὶ ἀποκαταστήσεται ὁ ὀφθαλμὸς τοῦ ἱέρακος, εἰς τὸ βλέπειν τρανῶς καὶ ὀξέως.

### Εἰν ἀμβλυωπίαν ἀπὸ καπνοῦ.

ΕΝ τῷ βαστάζεσθαι τὸν ἱέρακα, μύει συνεχῶς τοὺς ὀφθαλμοὺς, πλήττει, καὶ δακρυῤῥοεῖ· ὀπὸν βαλσάμου ἔμβαλε εἰς τὰς ῥῖνας, καὶ θεραπευθήσεται.

### Καθαρτικὸν διδόμενον ἀμβλυωποῦντι ἱέρακι.

ΠΕπέρεως γράμμ. δύο· κόστου γράμμ. δύο· φύλλου γράμμ. β΄· ναρδοστάχυος, εὐφορβίου,

βίου, ζιτζιβέρεως, ἀγρίας σταφίδος, λασάρου. δράμμ. α΄ ς΄΄. καρυόφυλλον δράμμ. α΄. κόκκοις δάφνης δράμμ. β΄. ταῦτα πάντα κόψας καὶ σήσας ἐν λεπτῷ κοσκίνῳ ἔμβαλε εἰς καλάμην ἢ εἰς χαλκοῦν αὐλὸν, ὥστε διαφυλάττεσθαι, καὶ μὴ γίνεσθαι ἔκπνουν· ἐπὶ δὲ τῆς χρήσεως, ἀναπτύξας τὸ στόμα τοῦ ἱέρακος, οἴνῳ παλαιῷ περίβρεχε τὴν ὑπερῴαν αὐτοῦ, καὶ οὕτως ἐμφύσα τὸ στόμα αὐτοῦ σφοδρῶς, πρὸς τὸ καταχλυσθῆναι τὸ καθαρτήριον· εἰς ἕκαστον δὲ μυκτῆρα τόσον ἔμβαλε, ὅσον χωρεῖ. τοῦτο δὲ ποίει ἐκ τρίτου. εἶθ᾽ οὕτως τῷ δακτύλῳ λαβὼν μέλιτος ἀττικοῦ ἐπιπάττειν αὐτῷ ἀπὸ τοῦ καθαρτικοῦ ξηρίου, καὶ ἀναπτύξας τὸ στόμα τοῦ ἱέρακος, πάλιν τὴν ὑπερῴαν καὶ τὸν φάρυγγα ἀνάτριβε, καὶ μετὰ πτεροῦ ποιήσας αὐτὸν καταποθῆναι· εἶτα στῆσον αὐτὸν εἰς τὸν ἥλιον, ἵνα πάντας τοὺς ἐγκειμένους ἐν τῇ κεφαλῇ, καὶ τῇ γαστρὶ χυμοὺς διαλυθῇ καὶ καθαρθῇ· καὶ μετὰ ὥρας πέντε, δὸς αὐτῷ περιστερὰν φαγεῖν, καὶ μέχρι ὥρας ἐννάτης ἀπάξειν αὐτὸν εἰς τὸ ὕδωρ, ὥστε αὐτὸν πιεῖν, καὶ συγχωρεῖν λούσασθαι· ἐκκαυθεὶς δὲ ὑπὸ τοῦ καθαρτηρίου, καὶ πιὼν,

σφόδρα ὠφεληθήσεται. καὶ τῇ ἑξῆς ἐμβαλεῖν εἰς θήραν περδίκων, ὅπως τραφεὶς ἀπ᾽ αὐτῶν, ὠφεληθήσεται πλέον.

## Εἰς σκώληκας τοὺς ἐν ὀφθαλμοῖς.

ΤΩΝ σκωλήκων ἡ γένεσις ἐν τοῖς ὀφθαλμοῖς συμβαίνει τοῖς ἱέραξιν, ὁπόταν ἐμφορηθῶσιν ἐκ πολλῶν χρόνων κρεῶν ῥυπαρῶν καὶ δυσόσμων, καὶ ἐκ τούτων ἐπαθροισθεῖσα σηπεδονώδης τις ὕλη περὶ τὴν κεφαλὴν τοῦ ἱέρακος, ῥευματίζεσθαι ποιεῖ τοὺς ὀφθαλμοὺς ἔνδον ἀπὸ τοῦ ἐγκεφάλου, καὶ τὸ φερόμενον ῥεῦμα σεσηπὸς ὑπάρχον, τίκτει τοὺς σκώληκας· παρέπεται τούτοις αἰνιγμὸς τῶν ὀφθαλμῶν, πταρμὸς συνεχὴς, καὶ διὰ τῶν ῥινῶν αἷμα ἐκφέρει. θεραπεύειν οὖν χρὴ τὰ οὕτω πάσχοντα τῶν ζώων, τὸν τρόπον τοῦτον· τὸν ἱέρακα λαβὼν εὐφυῶς ταῖς χερσὶν, ὑπ᾽ ἄλλου κατασχεθῆναι ποίησον, εἶθ᾽ οὕτως ἐπαίρειν τὰ βλέφαρα αὐτοῦ ἠρέμα, καὶ εἰς μέλι ἀττικὸν ἐμβάπτειν ὀστέον τρυφερὸν, καὶ μετ᾽ αὐτοῦ ἁρπάζειν τοὺς ἐμφωλεύοντας σκώληκας· προσιζάνουσι γὰρ τῇ τοῦ μέλιτος γλυκοπαχεῖ συστάσει, καὶ ἐλευθεροῦται

τοῦ πάθους ὑπὸ πολλῶν θηρατῶν· καὶ τοῦτο ἐφθείρηται γινόμενον. βελόνην λαβόντες ὀξεῖαν καὶ λεπτοτάτην, τοὺς σκώληκας ἕνα καθ' ἕνα ἁρπάζουσι, καὶ οὕτως θεραπεύουσι.

Ἄλλο.

Ηπαρ βοὸς καῦσον, καὶ τρῖψον ὡς χνοωδέστατον γενέσθαι, καὶ μετὰ καλαμίσκου ἐμφύσησον εἰς τοὺς ὀφθαλμοὺς καὶ τὰς ῥῖνας, καὶ θεραπεύσεις.

## Εαν ἀφρὸν ἐκβάλλῃ τὸν ὀφθαλμόν.

ΣΚυλόπουλον γαλαθηνὸν ἀνασχίσας, θερμὸν ἔτι ὂν δίδου φαγεῖν τῷ ἱέρακι ἐπὶ δυσὶν ἢ τρισὶν ἡμέραις.

## Εαν ἐξ ἀφροῦ συμβῇ λευκωθῆναι τὸν ὀφθαλμὸν τοῦ ἱέρακος.

ΓΗρας ὄφεως λαβὼν, καῦσον, καὶ ἐπίπασσον τὸν ὀφθαλμόν· εἶθ' οὕτως ἁλὸς ἀμμονιακοῦ μετὰ πτυέλου ἀναλυθέντος, ἐξ αὐτοῦ τὸν ὀφθαλμὸν ἐπίχριε, καὶ εἶθ' οὕτως δὸς αὐτῷ φαγεῖν κορώνην.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

## Πῶς δεῖ φλεβοτομεῖν τὸν ἱέρακα, καὶ ποίῳ τρόπῳ.

ΕΑΝ βούλῃ φλεβοτομῆσαι ἱέρακα, ἐν οἰκήματι κατακλείειν, καὶ εἰς ἀμφοτέρους τοὺς πόδας ἔσαι αἱ φλέβες φανεραὶ, ὡς πρὸς τοὺς μηροὺς πάλλοντα πτερὰ, καὶ οὕτως φλεβοτόμει αὐτόν· εἰ δὲ μὴ ὑποπίπτοιεν αἱ φλέβες, τὴν τοῦ πρώτου δακτύλου φλέβα τέμνε· τοῦτο δὲ ποίει τῷ ἱέρακι, ὅταν κακόχυμος εἴη, καὶ ἐν διαφόροις περιπέπλωκεν νοσήμασι.

## Εἰς δυσκωφοῦντα ἱέρακα.

ΠΕπέρεως λευκοῦ, πεπέρεως μακροῦ τὸ ἶσον κόψας, καὶ σήσας, δὸς αὐτῷ φαγεῖν μετὰ κρέως, μέχρι τριῶν ἡμερῶν, καὶ ὑπακούσει σου καλουμένου.

## Εἰς καπνιαθέντα ἱέρακα.

ΑΡξαμένην τὴν τῆς καπνοῦ νόσον, γνωρίσῃς οὕτως· συχνὸν ὁρῶν τὸν ἱέρακα, καὶ παρὰ τὸ ἔθος εἰς γῆν κεκυφότα, καὶ πτεροῦντα συνεχῶς, καὶ καρηβαροῦντα, τάτε τῶν ὀφθαλ-

μὲν κάτωθεν βλέφαρα μεστὰ ὄντα ὑγρῶν, καὶ προστρίβοντα ἑαυτὸν τῷ ξύλῳ, ἢ τῷ ἀνδρὶ τῷ βαστάζοντι, ἢ τοῖς ὄνυξιν ἀποτινάσσοντα αὐτοῦ τὰς ῥίνας. τὰς μὲν ἀπὸ τοῦ καπνοῦ γινομένας βλάβας θεραπεύσεις ῥᾳδίως. πρῶτον μὲν ἀφιστάναι τῆς βλαπτούσης αὐτὸν αἰτίας, ἤγουν τοῦ καπνοῦ, ἔπειτα οἴνῳ παλαιῷ προσφυσᾶν συνεχέστερον τὰς ὄψεις αὐτοῦ. εἰ δὲ προκατειλημμένος ἤδη τῷ χρόνῳ φαίνεται καὶ βαρυνόμενος, σκόρδου βραχύ τι μέρος λαβών, καὶ μετὰ οἴνου παλαιοῦ τρίψας, ἔμβαλε μετὰ πτεροῦ εἰς τὰς ῥίνας αὐτοῦ. τὸ αὐτὸ δὲ δρᾷ καὶ ὀπὸς βαλσάμου ἐνσταζόμενος ταῖς ῥισί, καὶ γάρους προποτεῖον μετὰ οἴνου, καὶ ῥοδίνου ἐλαίου, τὸ ἴσον ἀναλαβών, ἔγχεε πτερῷ, ἐμβάπτων *τῆς ῥινός, καὶ τὴν ὑπερῴαν τοῦ ζώου, καὶ στῆσον αὐτὸν εἰς ἥλιον ὥραν μίαν. εἶθ' οὕτως δίδου αὐτῷ φαγεῖν νευρῶδες κρέας, καὶ θεραπεύσεις.

Εἰς τὸ αὐτόν.

Καπνιαθεὶς, ὀγκωμένους φέρει τοὺς ὀφθαλμούς, οἰδημένην τὴν κεφαλήν, τὴν ῥῖνα ἐμπεφραγμένην· θεράπευε οὕτως. πεπέρεως μακροῦ κοκκία ε΄· κόστου γράμμ. γ΄. καρυοφύλλου

γράμμ. α΄. κασελίου γράμμ. α΄. ῥοίνου ἄνθος γράμμ. β΄. σταφίδος ἀγρίας κόκκοις ζ΄. πεπέρεως κοινοῦ κόκκοις ιγ΄. κρόκου γράμμ. α΄. ὀποβαλσάμου γράμμ. β΄. τραγακάνθης γράμμ. β΄. ἀνεμώνης βοτάνης γράμμ. α΄. ταῦτα ξηρὰ κόψας καὶ σήσας λεπτοτάτῳ κοσκίνῳ, ἐπίβαλε τούτοις τοῦ ὀποῦ βαλσάμου, καὶ μετ' οἴνου στύφοντος διάχριε τὸν ἱέρακα. ἐὰν δὲ ἴδῃς αὐτὸν ἀγωνιῶντα καὶ στενοχωρούμενον, μέλιτι ἀλβανουελαίῳ διάχριε τὴν ὑπέρωαν αὐτοῦ τοῦ ζώου, πρὸς τὸ καταγλυκανθῆναι προσέρραινε αὐτὸν, ἵνα μὴ ἀγωνιᾷ. Ἄλλο.

Σκόρδον λίαν τρίψας δίδου φαγεῖν τῷ ἱέρακι μετὰ κρέως, καὶ γάλακτος αἰγείου· μέλιτι εὐθὺς βάλε εἰς τὰς ῥῖνας αὐτοῦ, ἅπαξ τῆς ἡμέρας, ἢ δὶς, καὶ οἴνῳ στύφοντι προσφυσῶν αὐτοῦ τῇ ὄψει. Ἄλλο. Ἱέραξ καπνῷ μὴ προσεγγιζέτω διὰ τὸ βλάπτεσθαι, καὶ κόρυζαν ὑπομένειν, καὶ τὰ πτερὰ αὐτοῦ φρύγεσθαι.

## Περὶ κατάρρου. εἰς κατάρρουν.

Πρὸς κατάρρουν ἐπισημόνως χρή σε διδόναι κρέας ἐκ τῆς τοῦ τραχήλου συνδέρας

ἵνα καταστύφον ἐκφράττηται. βαστάζέσθω δὲ καλῶς καὶ ἐμπείρως καὶ ἀνεξικάκως.

## Περὶ κορύζης· πῶς γίνεται· καὶ ὅπως γνωρίζεται. καὶ πῶς θεραπεύεται.

ΤΑ τῆς κορύζης εἴδη διάφορα ὄντα καὶ ποικίλα, τίκτονται ποτὲ μὲν ἀπὸ κρεῶν σεσημμένων, ὁτὲ δὲ ἀπὸ χρόνου τῇ κοιλίᾳ, ἄλλοτε δὲ ἀπὸ ῥεύματος κεφαλῆς ἐμπεσόντος τῷ φάρυγγι, καὶ ἀπὸ χυμοῦ συνεχοῦς, καὶ ἀπὸ ἀδδηφαγίας γινομένης πολλῆς, καὶ ἀπὸ πληγῆς δὲ πολλάκις ἐπενεχθείσης τῇ πληγῇ τοῦ ἱέρακος, καὶ ἀπὸ ἀναθυμιάσεως χαλεποῦ ἀέρος, καὶ ἀπὸ ἀναθυμιάσεως τῆς γαστρὸς ὑπὸ λίθου γεγενημένης· γνωρίζεται δὲ καὶ ὑπὸ τῆς γλώττης περίττωμα ποιούσης ὑποκάτωθεν μέγαν, καὶ ἀπὸ πταρμῶν καὶ διοικήσεως τῶν ὄψεων, ἄλλοτε ἀπὸ τοῦ τὴν κεφαλὴν περιστρέφειν τῷ ζώῳ, καὶ ἐπικαθῆσθαι ταῖς πτέρυξιν· ἔσθ' ὅτε καὶ ἀπὸ τοῦ ἀποτινάσσειν τοῖς ὄνυξι τὰς ῥῖνας αὐτοῦ· πολλάκις δὲ καὶ ἀπὸ τοῦ μηδὲ τὴν τροφὴν ὁμοίως παρέχεσθαι· εἴδη δὲ ἐστὶ κορύζης τέσσαρα· ξηρά, ὑγρά, κατεχομένη καὶ νοσε-

ρὰ, σὺν ἄλλαις δυσὶ, λαθροκόρυζα, καὶ στηθοκόρυζα· περὶ οὖν τούτων ἑκάστων ἐπισκεπτέον καὶ θεραπευτέον.

## Εἰς ξηρὰν κόρυζαν.

Ξηρὰ μέν ἐστι κόρυζα, ὅταν πταρνουμένου ἱέρακος οὐδὲν διὰ τῶν ῥινῶν ἐκπέμπεται. θεραπεύεται δὲ τοῦτον τὸν τρόπον· πίσσαν καθαρὰν τρίψας λίαν λεπτὴν, καὶ μετὰ ὄξους δριμέος φυράσας, λείου ἐν ἰγδίῳ, ἕως γλοιῶδες γένηται· εἶτα πτερὸν ἀνελόμενος, *μέσον τῶν ῥινῶν ἔμβαλον ἅπαξ τῆς ἡμέρας· ὁρῶν δὲ αὐτὸν ὠφελούμενον, καὶ τῇ δευτέρᾳ ἡμέρᾳ ἰάτρευε ὁμοίως· ἐὰν δὲ βέλτιον αὐτὸν ἴδῃς ἔχοντα, θεράπευε αὐτὸν τῇ αὐτῇ ἀγωγῇ καὶ τῇ τρίτῃ· παρ' ἑκάστης δὲ θεραπείας μετὰ τῆς ὑπαλείψεως πέψιν μήτι χεῖε αὐτοῦ τὸν φάρυγγα, ἵνα ὑπὸ τοῦ ὄξους καταφλεγέντα σχεδὸν ἀνακτήσῃ. βέλτιον δὲ ἂν εἴη, κἂν μικρὰ μέρη κρεῶν χέσας περὶ τῆς θεραπείας ἐπιδῴης αὐτῷ, ἵνα τὸ μοχθηρὸν τῆς θεραπείας τούτοις μᾶλλον, ἢ τοῖς πνεύμασιν, ἐγκρύψῃ τοῦ ἱέρακος· εἰ οὖν ὠφεληθῇ ἐκ ταύτης τῆς θεραπείας, γάρον ἴδε

περὶ τὸν

περὶ τοῦτον λαβὼν, ὁμοίως διὰ τῶν ῥινῶν πέμπε, καὶ αὐτὸ ἅπαξ τῆς ἡμέρας, ποίει· ἐπὰν δὲ ἴδῃς ὅτι ἐμμένει ὁμοίως ἡ κόρυζα μὴ κινηθεῖσα τῇ τῶν προῤῥηθέντων φαρμάκων θεραπείᾳ, περιστερὰν δίδου φαγεῖν· εἰ δ' οὐκ ἔχῃς, δίδου χοίρειον κρέας θερμὸν μετὰ ἐλαίου, καὶ θεραπεύσεις· εὑρὼν δ' ἐγὼ ἀπὸ πείρας πολλῆς ἐπὶ τούτου τοῦ πάθους τὰ τοῦ σιδήρου ῥυπάρια, ἤτοι ἀποκάθαρσιν, κοπεῖσαν λεπτὴν, καὶ σηθεῖσαν μετὰ κρέως δοθεῖσάν τε ἐπὶ τρισὶν ἡμέραις, ἐθεράπευσα· ἄριστα δὲ ποιεῖ πρὸς πᾶσαν νόσον γλαῦξ πρὸς θοίνην δοθεῖσα.

Διάχρισμα χρησιμώτατον, εἰς πᾶσαν κόρυζαν.

ΠΕπέρεως γράμμ. β'· κασσίου γράμμ. β'. ζιτζιβέρεως γράμμ. α'. κόστου. γράμμ. α'. ναρδοστάχυος γράμμ. α'. εὐφορβίου γράμμ. α'. πυρέθρου κέρ. α'. ἀγριοσταφίδος κέρ. α'. ἀγαρικοῦ γράμμ. α'. ταῦτα πάντα κόψας καὶ σήσας λεπτοτάτῳ κοσκίνῳ, ἀναλάμβανε μέλιτι καλῷ, καὶ οἴνῳ παλαιῷ, καὶ χρίε τὴν ὑπερῴαν αὐτοῦ ἐν ἡλίῳ, καὶ ἐάσας αὐτὸν ἐπὶ ὥραν μίαν· εἶθ' οὕτως δίδου αὐτῷ περιστεράν· *ἀσα-

ρου, πεπέρεως τὰ ἀρκοῦντα, καὶ μέλιτος, καὶ οἴνου βαλὼν, ἐγχυμάτιζε διὰ τῶν ῥινῶν, καὶ ἴσα μετὰ τὸν ἐγχυματισμὸν ἐπὶ τὸν ἥλιον ὥρας δύο.

## Εἰς ξηρὰν κόρυζαν.

ΤΟΥ κορύζοντος ἱέρακος, οἰδοῦσιν οἱ ὀφθαλμοὶ, καὶ πταρμοὶ πολλοὶ ἐπιγίνονται, καὶ ταχείας τῆς βοηθείας χρήζει τῷ ἐν προτοῖς εἰρημένῳ διαχρίσματι μέχρι τελείας θεραπείας. εἰ δὲ μὴ εἴη, παραχρίσματι χρῶ τοιῷδε· σκόρδου χυλὸν μίξας μετὰ οἴνου στύφοντος, διάχριε τὴν ὑπερῴαν τοῦ ζώου, καὶ δίδου θερμοφαγεῖν. μὴ συγχωρήσῃς ὕδατος ἀπογεύσασθαι, ἐὰν ἐκ τοῦ χυλοῦ τοῦ σκόρδου ἀπαγεύσατο.

## Ἄλλο.

Κορύζης εἰσὶν εἴδη διάφορα· τούτων ἡ ξηρὰ, ἥτις ἐστὶ * σφαιρώδης, ἐὰν ἀχειοποιήσῃ, διὰ τῶν ὀφθαλμῶν τοῦ ζώου ὁ ἀφρὸς ἐξέρχεται, εἶτα ἡ κεφαλὴ αὐτοῦ, καὶ αἱ ῥῖνες ὕδωρ ἐκπέμπουσιν, ὡς μετ' ὀλίγον εἰρήσεται ἐπὶ ὑγρᾶς· ἔστιν οὖν ἐπικίνδυνον τοῦτο τὸ πάθος· κατ' ἀρχὰς μὲν θεράπευε τῷ τοιῷδε χρίσματι· φύλλα, γράμμ. γ'. λασάρου γράμμ. γ'. παν-

τὰ τρίψας καὶ σήσας, ἀνάτριβε τὸν οὐρανίσκον αὐτοῦ, μέχρι δύο ἢ τριῶν ἡμερῶν, ὁρῶν αὐτὸν ὠφεληθέντα.

Ἄλλο.

Καρυόφυλλον λαβὼν κεκομμένον, καὶ σκόρδου χυλὸν, καὶ μέλι, διάχριε τὸν ἱέρακα. τὸ τῆς κορύζης πάθος προστείνεται τῷ ἱέρακι, ἐὰν ὄζειν ἐν οἰκήματι ἔχοντι καπνόν· τὴν δὲ δριμύτητα τοῦ καπνοῦ ἁρπάζει ἡ κεφαλὴ, καὶ ἐμφραχθεῖσα, σφηνεῖ τοὺς μυκτῆρας τοῦ ζώου. θεραπεύεται δὲ καθαιρόμενος τῷ προγεγραμμένῳ πρὸς ἀμβλυωπίαν καθαρτικῷ, καὶ τοῖς ἐπιχρίστοις τοῖς εἰς τὴν κεφαλὴν, ἐπιχρίων τὴν ὑπερῴαν καὶ τοὺς μυκτῆρας.

Ἄλλο.

Γνωρίζεται ὅταν χασμᾶται συνεχῶς καὶ ῥέγχει. θεράπευε οὖν τῷ διαχρίσματι τούτῳ· κόστου γράμμ. ϛ΄΄. πυρέθρου γράμμ. θ΄. φύλλα γράμμ. β΄. βουτύρου κοχλιάριον ἥμισυ· τὰ ξηρὰ κόψας καὶ λειώσας, ἐπίβαλε τοῖς ὑγροῖς, καὶ ἀναλαβόμενος διάχριε τρίβων ἐπιμελῶς τὴν ὑπερῴαν αὐτοῦ.

Ἄλλο ἐπίχριστον.

Ὀπίου γράμμ. α΄. κόστου γράμμ. α΄. φύλλα γράμμ. α΄. ταῦτα κόψας ἀναλάμβανε.

Διὰ ῥινῶν.

Γάρον μετ᾽ οἴνου, καὶ ῥοδέλαιον τὸ ἶσον φυράσας, δίδου διὰ ῥινῶν, πρὸς τὸ ὑγραίνεσθαι αὐτήν, εἶθ᾽ οὕτως, στῆσον αὐτὸν εἰς ἥλιον, καὶ δίδου νευρῶδες κρέας τίλλειν, πρὸς τὸ καταγαγεῖν αὐτὸν ἀπὸ τῆς κεφαλῆς, εἴπερ δοκοίη ὑγρὸν ἔχειν διὰ ῥινῶν.

Ἄλλο.

Καστόρον εἴτε ὑγρὸν, εἴτε ξηρὸν, δίδου διὰ τῶν ῥινῶν.

Ἄλλο ἐπίχριστον.

Λαβὼν κονίαν στάκτης, βάλε αὐτὴν μετὰ ὕδατος εἰς ἀγγεῖον ἔχοντα ὀπὴν μικρὰν εἰς τὸν πυθμένα, καὶ ἔασον ἀπορρεῦσαι. εἶτα ἐκ τοῦ διϋλίσματος στάζε τὴν ὑπερῴαν αὐτοῦ, μὴ συγχωρῶν τὸ σύνολον καταπιεῖν ἐξ αὐτοῦ. ὄψει δὲ ὑγρὰ φερόμενα διὰ τῶν μυκτήρων, ἅπερ ἀποσπόγγιζε καθαρῷ σπογγαρίῳ μετὰ ὕδατος θερμοῦ.

Ἄλλο.

Σταφίδος ἀγρίας γρ. β'. πεπέρεως οὐγγ. δ'. κόστου οὐγγ. μιά· λασαρὺ γρ. β'. πυρέθρου οὐγγ. δ'. ταῦτα λειώσας καὶ σήσας λεπτῷ κοσκίνῳ, ἔχε ξηρὸν, παραφυλάττων ἀδιάπνευστον· ἐπὶ δὲ τῆς χρείας ἀνοίξας τὸ στόμα αὐτοῦ, προσφύσα οἴνου παλαιοῦ ἀκράτου· εἶθ' οὕτως μέλιτος ἀκάπνου διάχρισον τὸν φάρυγγα, καὶ σφίξας τὸ στόμα τοῦ ζώου, ἐκμύξας τοὺς μυκτῆρας αὐτοῦ, ἕως οὗ ἡ τοῦ μέλιτος ποιότης προσεγγίσῃ τῷ σώματί σου, καὶ οὕτως διάχριε τὸ ξηρὸν, καὶ στῆσον αὐτὸν ἐν ἡλίῳ.

Προσφυλακτικὸν κορύζης παντοίας.

Σταφίδος ἀγρίας κόκκους γ'. κόψας καὶ σήσας μετὰ μέρη τρία κρέως, δίδου τῷ ἱέρακι εἰς ξηφίον μέχρι τῶν τεσσαράκοντα ἡμερῶν, οὕτως δὲ καὶ βασταζόμενος, καὶ ἐγκλειόμενος οὐδέποτε τῷ τῆς κορύζης πάθει ἁλώσεται.

Κοινὴ θεραπεία πρὸς τὸ μὴ ὑπό τινος κορύζης ταχέως βλαβῆναι τὸν ἱέρακα.

ΛΑβὼν σκόρδου καυλὸν * μονοσκέλιδον, καὶ ἐπιμελῶς λειώσας, ἐπάλειφε τὴν κεφαλὴν αὐτοῦ, καὶ κατ' ὀλίγον δίδου φαγεῖν τῷ ἱέρακι, καὶ κοινὸν ἔλαιον δοθὲν ὁμοίως καὶ μέλι. ταῦτα ἐνεργέστερον ποιήσει, καὶ βούτυρον ὁμοίως δοθέν· καθαίρει γὰρ πάντα τὰ ἐγκείμενα τῇ κοιλίᾳ τοῦ ζώου βλαβερά, μάλιστα δὲ χειμῶνος ὥρᾳ, διὰ τὸ ἐκθερμαίνειν αὐτοῦ τὰς δυνάμεις τῇ φυσικῇ ἐνεργείᾳ· καὶ ἡ θερμοφαγία δὲ τῶν προγεγραμμένων πτηνῶν καὶ ζώων ὠφέλιμος· μάλιστα δὲ ἡ τῶν μυῶν, φυσικήν τινα πρὸς σωτηρίαν ἔχουσα ὠφέλειαν τούτῳ τῷ ζώῳ.

Διάχρισμα πρὸς ξηρὰν κόρυζαν ἱέρακος.

ΛΑβὼν ὀπὸν βαλσάμου, καὶ βουτύρου τὸ ἴσον ἑκάτερα, διάχριε τὸν ἱέρακα λουόμενον. Σκόρδου χυλὸν καὶ ὑοσκυάμου χυλὸν τὸ ἴσον μίξας, καὶ οἴνου σύφοντος τὸ ἀρκοῦν, διάχριε τὴν ὑπερῴαν τοῦ ἱέρακος, καὶ ἀνακρημνῶν

τὰς ῥῖνας αὐτοῦ πρὸς τὸ ἀναδραμεῖν ἀπὸ τῆς ὑπερῴας πρὸς τοὺς ἄλλους τόπους τὴν θεραπείαν, εἶθ' οὕτως στῆσον ἐν ἡλίῳ, καὶ θεραπεύσεις.

## Περὶ κατεχομένης κορύζης ἱέρακος.

Ἡ Δὲ κατεχομένη κόρυζα, δι' ἧς γίνεται πᾶσα ἡ ὄψις τοῦ ἱέρακος κατασιελωμένη, ἢ βεβρεγμένη ὁμοίως ὕδατι * πέμπουσαν ἀπὸ τῶν ῥινῶν· ἄρχεται δὲ ἀπὸ τῶν ὀφθαλμῶν ἐπιδεικνύειν τὴν τοῦ πάθους ἐνέργειαν· χρὴ οὖν βοηθεῖν οὕτως· λαβὼν σιδηρίτην βοτάνην, τρίψον αὐτὸν ἐν ἰγδίῳ μετὰ οἴνου παλαιοῦ καλοῦ, καὶ μέλιτος τὸ ἀρκοῦν ἕως οὗ γλοιῶδες γένηται· εἶτα βάπτων χοίρειον μῦν σκληρὸν, δίδου φαγεῖν τὸ ζῶον· εἰ γὰρ ψαύσοιτο, διαφθείρει αὐτὸ, καὶ θεραπευθήσεται ὁ ἱέραξ, δίχα τινὸς ἀμφιβολίας. Τοσαύτην δὲ ἔχει φυσικὴν δύναμιν, ὥστε εἰ συνεψηθῇ μύκησι θανατοποιοῖς, τοῦ ἐν αὐτοῖς θανατοποιοῦ καθαίρειν φαρμάκου, καὶ ποιεῖν ἐπιτηδείους αὐτοὺς πρὸς τροφήν.

## Περὶ νοτιάδος.

Νόπαις δὲ κόρυζα λέγεται, ἤ τις καὶ νότον ἔχει, καὶ ἀφρῶδές τι ἀπὸ τῶν ὀφθαλμῶν πέμπει, καὶ τὴν κεφαλὴν οἰδαίνει, καὶ διὰ τῶν ῥινῶν οὐδὲν πέμπει ἐπικίνδυνον μὴ προληφθὲν, καὶ σχεδὸν ἄπιστον· νοήσεις δὲ, ὅταν τῷ ὀφθαλμῷ τὰς γωνίας ἴδῃς ἑκατέρωθεν ἀφρὸν ἐχούσας ὀλίγον· θεραπεύσεις οὖν καὶ ταύτην οὕτως· λαβὼν ἀγρίας σαφίδος κόκκοις ζ΄. πεπέρεως κόκκοις ζ΄. ὁμοῦ κόψας ἐν θυείᾳ αἰγυπτείῳ, καὶ τρίψας ἐπιμελῶς μετ᾽ οἴνου, ἔχε ἐν ἑτοίμῳ. εἶτα μικρὰ τεμάχη κρέως μέλιτι χρίσας, δὸς τῷ ἱέρακι πρὸς τὸ φαγεῖν πέντε ἢ ἕξ. καὶ μετὰ ταῦτα λαβόμενος αὐτοῦ τῶν ποδῶν, καὶ κατέχων ἐν τοῖς κόλποις ἐπιμελῶς τοῖς δακτύλοις, καὶ προσέχων ὥστε μὴ βλαβῆναι αὐτοῦ τοὺς ἐλατῆρας τῶν πτερῶν, ἢ τῆς οὐρᾶς, πρῶτον μὲν τὴν γλῶτταν αὐτοῦ ἐξέλκων ἅμα ἠρέμα, ὑποκάτωθεν ὅρα· εἰ γὰρ προσκεῖται ἐν αὐτῇ ὥσπερ γλωττίδιον μικρὸν, ὅπερ ἐστὶ τοῦ πάθους ὑπόστασις, ἄφαιρε ἠρέμα ἀποξέων τῷ ὄνυχι, ἕως οὗ καθαρὸς γένηται

ὁ τόπος·

ὁ τόπος· ἔπειτα οἴνῳ παλαιῷ, τόντε φάρυγγα αὐτοῦ, καὶ τὸν οὐρανίσκον πλῦνε, τρίβων ἐπιμελῶς τοῖς δακτύλοις· ἔπειτα ἐκμυξήσας αὐτοῦ τὰς ῥῖνας τῷ στόματι ὁ θηρατὴς, καὶ λαβὼν τὸ ξηρίον τὸ γεγυμνασμένον ἐκ τῶν προκειμένων εἰδῶν, τριβέτω τὴν ὑπερῴαν τοῦ ἱέρακος· χρῶ δὲ καθ' ἑκάστην θεραπείαν ἐκ τοῦ προῤῥηθέντος, ὅσον δύο κυάμων τὸν σταθμόν· ἔπειτα στήσας αὐτὸν ἐν ἡλίῳ μικρὸν, ἕως οὗ καὶ μόνον θερμανθῇ, εἶτα ἀφίστα αὐτὸν τοῦ ἡλίου, δεσμεύων ἐν σκιᾷ, παραφυλάττων ἕως οὗπερ ἐκβάλλει τὴν νόσον διὰ τῶν ῥινῶν καὶ τοῦ στόματος, καὶ τὰ μικρὰ τμήματα τῶν κρεῶν, ἅπερ περὶ τοῦ φαρμάκου τῆς θεραπείας ἔλαβε· ἴδῃς γὰρ ἰλυώδη φλέγματα παραπλησίως πέμποντα τὸν ἱέρακα ἐκ τῆς ἐνεργείας τοῦ φαρμάκου· ὅτε τοίνυν ἴδῃς αὐτὸν καθαρθέντα, καὶ μηδὲν ἐκπέμποντα, μέλιτι χρίε αὐτοῦ τὸν φάρυγγα, καὶ τὴν ὑπερῴαν ὡς προείρηται, ἵνα καταγλυκανθῇ ὁ ἱέραξ ἀπὸ τῆς πικρίας τοῦ φαρμάκου, καὶ δίδου περιστερὰν ἐσθίειν, ἢ κρέας προβάτου θερμὸν, ἢ τῶν ἄλλων ζώων τῶν εὐχύμων, ἵνα *σφίζων αὐτὸ ὁ ἱέραξ, ἐκ τοῦ αἵμα-

τος αὐτοῦ πίῃ, καὶ *παρελόντων τῶν κρεῶν αὐτοῦ. εἶτα δ' ἂν ἔχῃ πλέον, ἐν αὐτῷ ἐμβάλλῃ· τοῦτο δὲ ποίει, μέχρι τριῶν ἡμερῶν, ἐλαίου ἀπεχόμενος ὁμοίως ὥσπερ ἐπὶ τῆς κατεχομένης κορύζης, ὡς εἴρηται· εἰ δὲ τὸ πάθος ἐπιμένῃ τὸ προκατειληφὸς τὸν ἱέρακα, ἤδη προσάξεις αὐτὸν ἑτέρας θεραπείας τρόπον τοιόνδε. λαβὼν ἀγριομηλέας καὶ ὑοσκυάμου οἰουδηποτοῦν ἴσον ἑκατέρῳ σταθμῷ, συμμίξας καπνελαίῳ, εἶτα ποιήσας κολούρια ἐξ αὐτῶν, καὶ ὀπὸν βαλσάμου χρίσας, δίδου ἐν κολουρίῳ αὐτῷ προποτίσας οἴνῳ τῷ στόματι τοῦ ἱέρακος· τὸ δὲ καθ' ἓν κολούριον, *ἀνὰ ἴσα γράμμ. α'. θεραπεύσεις δὲ τὸ αὐτὸ πάθος καὶ ἄλλως· πεπέρεως οὐγγ. α'. λαοστέρου γράμμ. γ'. κόστου γράμμ. ε'. ἀγριοσταφίδος κόκκους ι'. φύλλα γράμμ. ε'. ταῦτα κόψας καὶ σήσας λεπτοτάτῳ κοσκίνῳ, ἔχε ξηρόν· ἐξ αὐτοῦ τρίβε τὴν ὑπερῴαν, καὶ τὴν φάρυγγα.

## Περὶ κορύζης ὑγρᾶς.

ΤΗΣ δὲ ὑγρᾶς κορύζης, εἰσὶν σημεῖα τοιάδε. πρῶτον ὕδωρ τρέχει ἀπὸ τῶν ῥινῶν,

ἔπειτα προυμένου, σίελοι καὶ μύξαι παχεῖαι τῶν ῥινῶν ἐξέρχονται. τὰ τῶν ὀφθαλμῶν κοιλώματα πληροῦνται ὑγροῦ, καὶ φυσᾶται, καὶ οἰδαίνει· θεραπεύσεις οὖν καὶ τοῦτο τοῖς αὐτοῖς φαρμάκοις κατὰ τὸν αὐτὸν τρόπον τῆς νοτίας κορύζης· ἀμφότερα δὲ, μίαν ἔχουσιν ἀπαλλαγὴν, καὶ πάθοις θεραπείαν.

Ἄλλο.

Λάσαρον λαβὼν εἰς ὕδωρ, ἔα αὐτὸ ἀποβραχῆναι, καὶ ὅταν διαλυθῇ ἐν τῷ ὕδατι, λαβὼν νεοττὸν περιστερᾶς ἔτι ἐν θέρμου ὄντος τοῦ κρέως, ἐμβάπτων τῷ εἰρημένῳ ἀποβρέγματι, δίδου τῷ ἱέρακι.

Ἄλλο.

Ὁ ἱέραξ ὅταν διὰ στόματος, καὶ ῥινῶν ὑγρῶν διόλου ἐκπέμπῃ, καὶ τὰ βλέφαρα ὀγκώμενα ἔχῃ, οὕτως δραστικωτέραν διαχρίσματος χρείαν οὐκ ἔχῃ· οὐδὲ γὰρ ὄνησιν αὐτὸν, ἀλλ' ἐπὶ πλέον ἐπιφέρει ἐξ αὐτοῦ τὴν ὑγρότητα τῆς κορύζης· χρῶ δὲ τῷ βοηθήματι τούτῳ μόνῳ· πεπέρεως κοπανισμένου καὶ κοσκινισμένου διὰ ῥινῶν ξηρὸν καταπεφυσημένον ἀποκαθίστησιν ὑγιῆ τὸν ἱέρακα.

## Ἄλλο.

Τείνεται ἡ κεφαλὴ, καὶ οἱ ὀφθαλμοὶ οἰδαίνονται, καὶ ῥέγχει· θεραπεύσεις δὲ ταύτῃ τῇ θεραπείᾳ· πεπέρεως κόκκοις μ΄. κόστου γράμμ. δ΄. ὀπίου γράμμ. α΄. φύλλα γράμμ. β΄. ἀγριοσταφίδος κόκκοις κ΄. πυρέθρου γράμμ. ϛ΄. εὐφορβίου γράμμ. ϛ΄. ὀποβαλσάμου κοχλία γ΄. τὰ ξηρὰ κόψας ἐπίβαλε τοῖς ὑγροῖς· τῷ δὲ ὀπίῳ ἀπόβρεχε οἴνῳ, καὶ ἐπίβαλε τοῖς ὑγροῖς· καὶ χρῶ.

## Ἄλλο.

Τῆς ὑγρᾶς κορύζης φανερὰ πάθη εἰσί· ῥεῦμα φερόμενον ἀπὸ τῶν ὀφθαλμῶν, καὶ τῶν ῥινῶν· ἰάσῃ οὖν τὸ πάθος τῇ ὑποτεταγμένῃ θεραπείᾳ· πρῶτον διαχρίειν τὴν ὑπερῴαν τῷ εἰρημένῳ διαχρίσματι, ἐξαγίου ἥμισυ· ἐπιμένοντος δὲ τοῦ πάθους, δαφνίνῳ ἐλαίῳ ἐγχυμάτιζε εἰς ἑκάστην ῥῖνα σταγόνας δύο· εἰ δ' οὐχ οὕτως ὠφελεῖται τὸ ζῶον, καυστήρια προστίθει ἐν τῷ βρέγματι, ὡς μετ' ὀλίγον εἰρήσεται· ἔσω δὲ τὸ ξηρίον, πήγανον τετριμμένον εὖ μάλα, καὶ ξηρὸν ἐμφυσᾶ διὰ τῶν μυκτήρων τοῦ ἱέρακος· μὴ λειπέσθω δὲ θερμοφαγίας τῆς δι' ὀρνέων· ἐν ἡλίῳ μὴ συγχω-

ρει τὸ σύνολον· ὕδατι δὲ ὀλίγῳ χρᾶσθαι, διὰ τὴν τῶν βοηθημάτων προσαγωγήν.

Εἰς τὸ αὐτὸ ἄλλο.

Ὁπόταν ἔχῃ ὁ ἱέραξ ὑγρὰν κόρυζαν, γνωρίζεται ἀπὸ τοῦ περὶ τῶν ὀφθαλμῶν, περὶ τὰς γωνίας, τουτέστι περὶ τοὺς κροτάφους, καθ' οὓς φέρεται ὑγρὸς ἀφρὸς, καὶ πτέρνει συνεχῶς, καὶ ὡς δοκεῖ καταπίνειν ἐσθίων, μὴ ἐσθίων· θεραπεύσεις δὲ οὕτως· μάδιζε τὰ πτερὰ τῶν κροτάφων αὐτοῦ, καὶ τὰς ἐν αὐτοῖς φλέβας φανερὰς ποιήσας πάσσον αὐτὰς, ἀνήθου ῥίζας κοπήσας καὶ σηθήσας, ἢ πυρώσας σιδήρεον λεπτὸν, καῦσον τὰς φλέβας εὐφυῶς, καὶ θεραπεύσεις, εἰ εὐθέως ἐπιχέοις τοῖς τόποις ἄκρατον οἶνον.

Πρὸς τὰ τῆς ὑγρᾶς κορύζης γινόμενα φύματα.

Γίνεται πολλάκις φύματα εἰς τὰς ῥῖνας τῶν ἱεράκων, ἐκ τοῦ πάθους τῆς ὑγρᾶς κορύζης· ἴαμα δὲ τούτου, γάρους προστεῖον ἐγχυματιζόμενον, καθεκάστην ὥραν σταγόνας τρεῖς.

### Πρὸς φλεγμονὴν ῥινῶν.

Γνωρίζεται καὶ ὅταν φλεγμαίνῃ τοὺς μυκτῆρας αὐτοῦ· ὑγρὸν κολλῶδες ἐκφέρει περὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ τὸ στόμα· θεραπεύεται οὕτως· πελέας ἀγρίας σπέρμα κόψας, καὶ συντρίψας μετὰ ἐλαίου, ποίει ὡς κολλούρια, καὶ χρῶ ἀνατρίβων τὴν ὑπερῴαν τοῦ ζώου· εἰς δὲ τὰς ῥῖνας αὐτοῦ ἔνσταζε ῥόδον ἀπὸ ὄμφακος ἐλαίου κατασκευασθέν.

### Πρὸς τοὺς ἀπὸ ῥινῶν φέροντας μύξας.

Λαβὼν πεπέρεως κόκκους ιϛ'. βάλε αὐτοὺς ἐν ἰγδίῳ, καὶ λειώσας καλῶς σαπώνην καὶ στάκτην σεσησμένα λεπτῷ κοσκίνῳ, καὶ ταῦτα κατὰ ἀναλογίαν τοῦ πεπέρεως ἐμβαλὼν καὶ ἀναμίξας, μετὰ τὸ φαγεῖν τὸν ἱέρακα ὑπάλειφε τοὺς μυκτῆρας αὐτοῦ, καὶ ἰᾶται.

### Ἐὰν ἐκ τῶν μυκτήρων ὕδωρ φέρῃ.

Ῥαφάνου σπέρμα κόψας καὶ σήσας, διάχριε τοὺς μυκτῆρας αὐτοῦ.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

### Ἄλλο.

Λαβὼν βοτάνην φιλάνθρωπον καλουμένην, τὸ σπέρμα τρίψον, καὶ σῆσον λεπτοτάτῳ κοσκίνῳ, καὶ ἀναστείλας τὸ στόμα αὐτοῦ ἱέρακος, εὐφυῶς τρίβε μετ' αὐτοῦ τὸν οὐρανίσκον, καὶ ὄψει θαυμαστῶς ἀποκαθαίρων τὰς μύξας.

### Περὶ στηθοκορύζης.

Στηθοκόρυζα γίνεται τῷ ἱέρακι ἐκ πολυχυμίας· δεινὸν δὲ τὸ πάθος παρ' αὐτὰ μὴ βοηθούμενον. σημεῖον δὲ τοῦ πάθους· ἆσθμα βαρὺ, ὡς ἐκ γυμνασίας, καὶ περὶ τὸ στῆθος τοῦ ἱέρακος ὑγρὰ ἐπισωρεύονται, ἅτινα καὶ ῥέγχειν ποιοῦσι τὸ ζῶον. βοηθητέον οὖν τὸν τρόπον τοῦτον. καθεκάστην ἡμέραν διδόντες εἰς τροφὴν περιστερὰν, ποτίζοντες αὐτὸν ὑδρόμελι, ἢ δροσάτον· ἃ συνεχέστερον πινέτω ὁ ἱέραξ, ἕως παντελοῦς ἀποκαταστάσεως· θερμὴ δὲ θεραπεία οὐ ὅλως ὠφελεῖν πεπείραται, ἀλλὰ μᾶλλον τὸ ψυχροφαγεῖν δι' ὠμῶν κρεῶν, ἢ σύμφυτον βαλὼν, μέσον τοῦ κρέως, δίδου τῷ ζώῳ τμήματα τρία μικρά.

## Ἄλλο.

Συνεχῶς ῥέγχει καὶ ἐκχύεται τὴν γλῶτταν περιβαλών· θεραπεύεται οὖν τούτῳ βοηθήματι· βούτυρον λειώσας μετὰ δροσάτου καὶ φύλλου ἰνδικοῦ κεκομμένου καὶ σεσησμένου ὀλίγου, καὶ ἀναφυράσας ὁμοῦ, ἔμβαλε αὐτὸ εἰς δέρμα μυὸς ἐκδαρέντος, εἶτα διαστείλας εὐφυῶς τὸ στόμα τοῦ ἱέρακος, δίδου πιεῖν τὸ κατασκευασθὲν δέρμα· δίδου δὲ καὶ περιστερὰν ἐσθίειν, ὡς προείρηται, καὶ εἰς ἑκάστην ῥῖνα, δάφνινον ἔλαιον ἔνσταζε, καὶ ὑπαίθριον ἑστάναι κέλευσον, καὶ ἀποκαταστηθήσεται.

## Περὶ λαθροκορύζης.

Σανδαράχης οὐγγ. α΄. βουτύρου οὐγγ. β΄. ὠῶν δύο τὰ λευκά· ἐλαίου δαφνίνου οὐγγ. τὸ ἥμισυ· μέλιτος καλοῦ. οὐγγ. ϛ΄΄. μυελοῦ ἐλαφείου οὐγγ. β΄. ὁμοῦ ἐμβαλὼν, ἀνάμιξον, καὶ σφαιροποιήσας εἰς μικρὰ, ἐπίδος φαγεῖν τῷ ἱέρακι.

## Βοήθημα βεβρώσιμον ποιεῖν πρὸς στηθοκόρυζαν.

Νοσεῖ τὴν νόσον ταύτην ὁ ἱέραξ ἐπιπολὺ καπνιαθείς· σημεῖον δὲ τούτου πάθους, τὰ βλέ-

τὰ βλέφαρα αὐτοῦ πελιδνά, καὶ ἀπὸ ῥινῶν ἀφρὸν ἐκπέμπει, καὶ ῥέγχει ἰσχυρῶς· ἴασιν οὖν οὕτως· λαβὼν ὑοσκυάμου σπέρμα γράμμ. α΄. λασάρου γράμμ. β΄. πεπέρεως γράμμ. α΄. ὁμοῦ λειώσας μέλι ἄκαπνον, μίξας, διάχριε τὴν ὑπερῴαν, καὶ διαναστήσας, πολὺ δίδου θερμοφαγεῖν.

Ἄλλο.

Κόστου, πεπέρεως μακροῦ, ὑοσκυάμου σπέρματος τὸ ἴσον, λασάρου γράμμ. α΄. πεπέρεως γράμμ. α΄. ἑκάτερα λειώσας καὶ σήσας, μέλιτι διάχριε τὴν ὑπερῴαν ἱέρακος.

Ἄλλο.

Μέλιτι ἀκράτῳ τὴν ὑπερῴαν καὶ τὸν φάρυγγα προσφύσα, ἢ ἀνάτριβε ἐπὶ συχνῷ σκορόδῳ κεκαρμένῳ, καὶ πλατυκυμένῳ, καὶ σταφίδος ὑγρᾶς τῷ ἴσῳ σταθμῷ λαβών, λειώσας αὐτὰ καλῶς, καὶ βούτυρον ἀναλαβὼν ὑπάλειφε τὸ κρέας τὸ διδόμενον εἰς τροφὴν τῷ ἱέρακι.

Ἄλλο.

Ἱέραξ λαθροκορύζῃ ἐμπεσὼν, ἐνδείκνυται ἀπὸ τοῦ φλεγμαίνειν τὰ περὶ τοὺς μυκτῆρας, καὶ ῥέγχει· ἔσθ' ὅτε δὲ καὶ οὐ ῥέγχει, ἀλλὰ φλεγμαίνει μόνον· συμβαίνει δὲ τούτοις τοῖς ζώοις τὸ

τοιοῦτον πάθος, ὁπόταν βραχῇ πολλὰ, καὶ ἀπὸ καπνοῦ πολλοῦ, ὡς προείρηται· θεράπευε δὲ τούτῳ τῷ τρόπῳ· λαβὼν τὸ λεγόμενον *ὀνόσκορδον, λεῖε ἐν ἰγδίῳ· εἶτα εἰς ὀθόνιον λεπτὸν ἀπόθλιβε, καὶ λαβὼν τὸν χυλὸν, προσφύσα τοὺς μυκτῆρας αὐτοῦ.

Ἕτερον.

Κόκκοις κνίδης ζ΄. ἢ θ΄. δίδου, λειώσας μετὰ κρέως μέρη τρία.

Ἄλλο.

Αἰγὸς ἄρσενος τὸ μέσον τῆς σφαγῆς αἷμα λαβὼν, ἢ μετὰ τοῦ ὀλίγου ἐκχυθῆναι αἷμα, ὑπόδεξαι εἰς ποτήριον, ἢ εἰς ἕτερον ἀγγεῖον, καὶ ἔα παγῆναι, καὶ δίδου τῷ ἱέρακι φαγεῖν.

## Περὶ τῶν κατὰ στόμα γινομένων παθῶν τοῦ θερμίου.

ΕΣΤΙ πάθος θέρμιον κατονομαζόμενον ἔνδον τοῦ στόματος παρὰ τὸ χεῖλος τοῦ ἱέρακος γινόμενον· ὀπαὶ γάρ τινες μεγάλαι καὶ σηραγγώδεις εἰσὶν, ἐν αἷς ἐπιρρεῖ τὰ ὑγρὰ, ὅθεν οὐδὲ τελειοῦται, ἀλλὰ κατὰ μέρος φυσᾶται, ἐπεισρεόντων ἐν τῇ ὀπῇ τῶν ἀχρείων τῶν λεγο-

μένων ὑγρῶν ἐπισυναγομένων· χρὴ οὖν ἀναπλύξαντες τὸ τοῦ ἱέρακος στόμα, πρῶτον μὲν τὴν τῆς ὀπῆς λεπίδα πτερῷ ὑποκαθαίρειν, εἶτα τὸν τόπον μέλιτι διὰ τοῦ πτεροῦ ὑποχρίειν, ὥστε πᾶσαν ἐκκαθάραι τὴν ἔσωθεν κόπρον· ἐπὶ δὲ τὸ στόμα τοῦ τρίμματος, οὐ μὴν, ἀλλὰ καὶ ἐνδότερον τῆς ὀπῆς, χαλκῖτιν κεκομμένον ἐμβάλλειν, ἕως ἂν ἐξαναλώσῃ τὸ σεσηπός· κατεσθίει γὰρ ἅπαντα τὰ τοῦ θερμοῦ ἑλκώματα. καὶ τούτου γενομένου, ἀπαλλάττεται τὸ ζῶον τοῦ πάθους.

## Πρὸς ἄφθας ἱεράκων, τὰς καὶ ψύδρακας λεγομένας.

Γνωρίζεται ὁ ἱέραξ ἄφθας ἔχων, ὅταν τὰ ὑπερῷα αὐτοῦ ὁλόλευκος εἴη, καὶ ὡς κέγχρου κόκκοι μικροὶ ἐν τῷ στόματι τοῦ ζώου· θεράπευε οὖν τῷ τρόπῳ τούτῳ· λαβὼν ῥάκος λινοῦν, λεπτὸν, περιδέσμει τῷ λιχανῷ σου δακτύλῳ· εἶτα εἰς ῥοδόμελι ἐμβάπτων, τρίβε τὴν ὀπερῴαν αὐτοῦ, καὶ τὴν γλῶσσαν· εἰ δὲ οὐκ ἔστιν εὐπορία ῥοδομέλιτος, οἰνομέλιτι χρῶ, καὶ θερμοφαγεῖν δίδου.

Ἄλλο.

Οἴνῳ στύφοντι μετὰ ῥοδομέλιτος διάκλυζε τὸ στόμα τοῦ ἱέρακος, ἢ * αὐτὸ ῥοδόμελι μόνον, ἢ ῥοδίνῳ ἐλαίῳ κατασκευασθέντι ἀπὸ ὄμφακος.

Ἄλλο.

Ὀμφάκινον λειώσας σὺν οἰνομέλιτι, χρῖε τὴν ὑπερῴαν καὶ τὴν γλῶτταν αὐτοῦ.

Ἄλλο.

Πρὸ τῆς θεραπείας, τρῖψον αὐτὰς μετὰ ὄξους καὶ μέλιτος, ἕως καθαρθῶσιν· εἶθ' οὕτως ῥοδομέλιτι ἐπάλειφε συνεχῶς.

Ἄλλο.

Κνίδας θλάσας ἕψησον ἐν ὕδατι, καὶ διηθήσας, ἴσον ἀφεψήματι μέλι μίξας, ἕψει πάλιν ἕως μελιτώδους συστάσεως, εἶτα πορφύραν *κρονίδαν ἑλίξας δακτύλῳ σου, διάχριε ἐκ τοῦ κατασκευασθέντος τὸ στόμα πανταχόθεν τοῦ ἱέρακος.

Ἄλλο.

Ἐὰν συμβῇ ἄφθαι ἐν τῇ κεφαλῇ ἔχον τὸ ὄρνεον, μετὰ βίαν ἐκ τῆς χειρὸς καταβαίνει· μετὰ δὲ τὸ κατελθεῖν, ἐὰν ἴδῃς βιαίως ἀναπνέον, ἴσθι τὸ ἧπαρ αὐτοῦ ἕλκος ἔχειν, καὶ ἀνιάτως νοσεῖν· εἰ δὲ περὶ τὴν κεφαλὴν μόνην τὸ πάθος ἴλλη-

ται· πρῶτον μὲν διάχρισον ὀπῷ βαλσάμου· εἶτα μετὰ μίαν ἡμέραν, * διάχρισμα ἔχον ῥοδέλαιον καὶ μέλι, χωρὶς εὐφορβίου· ἐὰν δὲ φλεγμαίνωσι, κρόκον καὶ λευκὸν ὠοῦ μίξας, διάχριε.

### Πρὸς φλυκταίνοντας ἱέρακας.

ΕΑΝ ἐν τῷ στόματι φλυκταῖναι γένωνται, ἢ ἄλλῳ μέρει τοῦ σώματος, πλύξας τὸ ὄρνεον εὐφυῶς, ὑπ᾽ ἄλλου τὸ στόμα διανοιγῆναι ποίησον, καὶ βελόνῃ τὰς φλυκταίνας ἀνοίξας, ἔα μικρὸν αὐτὰς διαπνεῦσαι· εἶτα ῥοδομέλιτι χρίε τοὺς τόπους.

### Πρὸς τοὺς χαίνοντας καὶ περιβάλλοντας τὴν γλῶτταν.

ΤΑΣ ῥίνας τοῦ * κρέως εἰς δροσάτον ἐμβρέξας, παράβαλε αὐτῷ ἡμέραν μίαν, μετὰ ταύτην, τῇ ἑξῆς, μίξας τῷ δροσάτῳ φύλλον ἰνδικὸν σεσησμένον, καὶ βούτυρον ἀνακόψας * εἰς δέρμα μυὸς μικροῦ ἔμβαλε, ὡς δύνασθαι γεμισθῆναι, καὶ δίδου καταπίνειν, καὶ τῇ τρίτῃ ἡμέρᾳ δαφνίνῳ πρώτῳ δίδου σταγόνα διὰ τῶν ῥινῶν.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

## Εἰς ῥέγχοντα.

ΕΑΝ ῥέγχῃ ὁ ἱέραξ, καὶ στενοχωρῆται καὶ βιάζηται τοῦ φαγεῖν, γίνωσκε ὅτι φλέγμα ἐντὸς τοῦ φάρυγγος ἔχει. θεραπεύσεις δὲ, εἰ ῥίνισμα σιδήρου λεπτὸν μετὰ κρέως δώσεις θερμοῦ. Ἄλλο.

Ζιτζιβέρεως, θείου ἀπύρου καθαροῦ τὰ ἴσα λειώσας μετὰ ἐλαίου ῥοδίνου, δίδου αὐτῷ φαγεῖν μετὰ κρέως. Ἄλλο.

Καὶ μόνον τὸ ῥόδινον ἔλαιον μετὰ κρέως διδόμενον θεραπεύει ἐκβάλλοντα ἐγκείμενα τῷ θώρακι. Ἄλλο.

Αἰγὸς χολὴν ἄβρομον χλιάνας, ἐγχυμάτιζε τὸν ὄρνιν. Ἄλλο.

Ζιτζιβέρεως μέρος ἓν κεκομμένον, βουτύρου μέρος ἕν, ῥοδίνου ἐλαίου τὸ ἀρκοῦν, μετὰ κρέως δίδου τῷ ἱέρακι φαγεῖν.

## Πῶς ἐπιγνωστέον τὸν πνεύμονα τοῦ ἱέρακος πεπονθότα, καὶ ὅθεν γέγονεν, καὶ πῶς θεραπεύεται.

ΕΑΝ ὁ ἱέραξ, εἴτε ἑστὼς, εἴτε κινηθεὶς ἀναπνέει βαρέως, ὡς μόλις ἀνέλκειν τὸ πνεῦ-

μα, ὡς ἀκούεσθαι τὸν ἦχον πόῤῥωθεν, γίνωσκε ὑπὸ πλεονασμοῦ θερμοτέρου, ὕλης ἐμπεσούσης ἐκείνῳ τῷ μέρει, τοὺς πνεύμονας καταφλεχθέντας πεπονθέναι. τοῦτο δὲ συμβαίνει, καύματος ὥρᾳ βασταχθέντος αὐτοῦ ἀπείρως, ἢ ἀποῤῥιφθέντος τῆς χειρὸς πεπονθέναι· θερμοῦ δὲ ὄντος τοῦ περιέχοντος φύσει, καὶ τῆς φύσεως πλέον πυρακτούσης, βλάπτεσθαι τοὺς πνεύμονας αὐτοῦ, καὶ ὑπὸ τῆς ἐκπεμπομένης καὶ ἀνελκομένης τοῦ ἀέρος θερμότητος. καὶ κακῶς δὲ συλληφθεὶς δι' ἀτεχνίαν τοῦ βαστάζοντος αὐτὸν, διασπᾷ τοὺς πνεύμονας· θεραπεύσεις οὖν τὸν τρόπον τοῦτον· φακὴν αὖ ἑφθὸν τρίψας, καὶ μέλιτι φυράσας μετὰ κρέως, δίδου φαγεῖν τῷ ἱέρακι, συμπλέκων ὀλίγον ῥίνισμα λεπτὸν σιδήρου, καὶ θεραπεύσεις παραχρῆμα.

Ἄλλο.

Τοὺς τὸν πνεύμονα πάσχοντας ἱέρακας, δυσιάτους γίνωσκε εἶναι, πλὴν ἐν ἀρχῇ τοῦ πάθους· ἰασάμεθα τούτους πολλάκις, δόντες ψυχρὸν μόνον ὕδωρ εἰς κόρον, ἢ ῥοδόμελι, μετὰ μέλιτος ψυχράναντος πιεῖν τὸ ζῶον ἐκελεύσαμεν, καὶ ἐθεραπεύθη.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

### Ἄλλο.

Ἱέραξ ὅτε πυκνὸν εἰσπνέει, καὶ ὕδωρ πολὺ ἐπιζητεῖ, τὸν πνεύμονα πάσχειν εἴωθε. καὶ θεραπεύεται δὲ μέλιτι ἀκράτῳ, ἐγχεόμενος τὴν ὑπερῴαν αὐτοῦ· εἶτα κρόκον λειώσας μετ' οἴνου, καὶ κρόκου ᾠοῦ, καὶ συμμίξας ἐγχυμάτιζε τῷ ζώῳ, καὶ καλῶς ἕξει.

### Ἄλλο.

Γλάρων νεοττοὺς δίδου φαγεῖν τῷ ἱέρακι ἐπὶ συχνὸν, καὶ ὠφεληθήσεται.

### Ἄλλο πρὸς στενοχώρησιν.

Στενοχωρεῖ δὲ ὁ ἱέραξ εἰς τὸ τραχηλῶσαι, βίῳ τε καταπίνει, φλεγμαινούσης τοῦ φάρυγγος αὐτοῦ· ἴασις οὖν ῥίνισμα σιδήρου λεπτότατον μέρος α'. καὶ κρέας θερμὸν μέρος α'. καὶ ᾠοῦ κρόκον μίξας, δίδου τῷ ζώῳ.

### Ἄλλο εἰς κυνάγχην.

Ἐλαίου, καὶ οἴνου, καὶ μέλιτος τὸ ἴσον λαβὼν, μίξον, καὶ μετὰ κρέως δίδου φαγεῖν· κάλλιον δὲ ἐστὶν, εἰ ἐπιμένῃ τὸ κρέας ἐν αὐτοῖς, καὶ οὕτως δοθῇ.

## Εἰς κατάπλωσιν καὶ στενοχωρίαν φάρυγγος.

Ἄσαρον μετ᾽ οἴνου λειώσας ἔμβρεχε εἰς αὐτὰ κρέας καὶ δίδου· εἴωθε πολλάκις τοῖς ἱέραξιν ἐξ ἀδδηφαγίας, ἢ κακοχυμίας, ἔνδοθεν ὑπὸ τὸ στῆθος, καὶ τὴν καρδίαν, καὶ τὰς μασχάλας ὅμοια φλυκτίσιν, ἢ χοιράσι τίκτεσθαι πεπληρωμένα ὑγρῶν· ἅτινα εἰ μὴ ταχέως θεραπευθῶσι, καταναλίσκει ἐπὶ εἰς μακρὰν τὸν ἱέρακα· γνωρίσεις οὖν τὸ πάθος ἐντεῦθεν. ὅταν ὁρᾷς αὐτὸν συνεχῶς ἐφιέμενον τοῦ ὕδατος· βλέπων γὰρ τοῦτο, ἢ φρέαρ, ἢ λίμνην, ἐκκαίεται ἀπελθεῖν ἐκεῖσε, καὶ συνεχῶς ἀφίπταται καὶ ὅμοιος ὑπὸ τοῦ πυρώδους ὑγροῦ· θεραπεύσεις δὲ οὕτως, προβάτου κρέας ψυχρὸν μέλιτι χείσας, δίδου φαγεῖν ἡμέρᾳ μιᾷ μόνῃ· ἑτέρᾳ δὲ ἡμέρᾳ ἱσπανικὸν ἔλαιον μετὰ κρέως δίδου φαγεῖν· εἰ δὲ τούτων δοθέντων μηδὲν ὠφεληθῇ, συνάγαγε τρίχας ἀπὸ χαίτης χοίρου τραχείας, καὶ εἰς λεπτὰ λίαν συγκόψας αὐτὰς κοπίδι, συμμίξας τῷ κρέατι δίδου φαγεῖν· κατελθόντα γὰρ τὰ λεπτὰ τῶν τριχῶν τὰ συγκοπέντα, καὶ προσαντισόντα ταῖς προειρημέναις φλυκταίναις διαλύ-

τρώσκει ἢ ῥήγνυσιν, ἐκχυθέντος δὲ τοῦ ὑγροῦ ἐκείνου, ἐλευθεροῦται τὸ ζῶον θανάτου· τούτου δὲ γινομένου, τῇ ἐπαύριον χρῆσαι τῇ διὰ τοῦ μέλιτος θεραπείᾳ, καὶ παντοιοτρόπως ἀπαλλάξης αὐτὸ τῆς νόσου.

## Εἰς δίψαν ἱέρακος.

Ἱέραξ συνεχῶς πίνων, καὶ πολὺ ἐν τῷ βασάζεσθαι ἐκρίπτων ἑαυτὸν ὅταν ὕδωρ βλέπῃ, δῆλον, ὡς ἔνδον περὶ τὸν λαιμὸν τὰς λεγομένας χοιράδας ἀναφαίνει, ἢ περὶ τὸν πρόβολον, ἢ περὶ τὰς μασχάλας, αἵτινες παρέχουσιν αὐτῷ τὴν δίψαν· τάχιον δὲ ὀφείλει ἰατρεύεσθαι· εἰ δὲ μή, ἀπόλλυται· θεραπεύσης δὲ αὐτὸ, ποτὲ μὲν μέλιτι αὐτῷ διδοὺς μετὰ κρέως, ποτὲ δὲ καὶ ῥοδίνου.

## Εἰς τὸν ζητοῦντα ὕδωρ.

Κρόκον μετ᾽ οἴνου ἀμιναίου λειώσας, δίδου αὐτῷ, καὶ καλῶς ἕξει· φύλλα σκορόδου καὶ βλίτου βοτάνης ἐπιμελῶς τρίψας ἐν ξυλίνῳ ἰγδίῳ διὰ δίδρακος ξυλίνου, δίδου πρῶτον φάσσαν ζῶσαν φονεῦσαι, καὶ ὅτε ἄρξηται ἐσθίειν,

τῷ αἵματι αὐτῆς καὶ τῷ κρέατι παράτριβε τὰς βοτάνας· καὶ δίδου ἐσθίειν.

## Εἰς ἀπόστημα ἱέρακος.

ΕΑΝ ἀπόστημα ἔχῃ ὁ ἱέραξ, ταχὺ ἀναπηδᾷ. ἀποστημάτων δὲ εἰσὶ δύο γένη· τὸ μὲν λιθῶδες, τὸ δὲ αἱματῶδες· θεραπεύεται δὲ οὕτως· λαβὼν ἀδίαντον, ἕψε ἕως οὗ λείψῃ τὸ τρίτον· εἶτα διηθήσας αὐτὸν, καὶ τῷ διηθίσματι λαβὼν μικρὰν πίτανον ζέουσαν, καὶ μέλιτι τὸ ἀρκοῦν ἀναφυράσας ὁμοῦ· εἶθ' οὕτως καθάρας τὸν ἱέρακα, διὰ τῆς συνεχοῦς δόσεως τοῦ παστίλου, πρὸς τὸ ἀπορριφθῆναι πᾶσαν ῥυπαρίαν τὴν ἐγκειμένην, ἐν αὐτῷ δίδου τότε φαγεῖν αὐτῷ ἐκ τοῦ κατασκευασθέντος εἰς μέρη κρεῶν κατὰ μέρη δι' ὅλης τῆς ἡμέρας, πρῶτον μὲν δύο μέρη, καὶ μετ' ὀλίγην ἡμέραν, δύο ἢ τρία ἴσα ἐὰν δέχηται λαβεῖν, ὡς εἶναι τὰ πάντα πέντε ἢ ἕξ, καὶ ἔασον τὴν ἡμέραν ἐκείνην μηδὲν ἄλλο φαγεῖν· καὶ ἀπὸ τούτου γνώσῃ, εἴτε τοῦ αἱματώδους ἔχει τι ἢ τοῦ λιθώδους ἀποστήματος.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

### Δι' ὧν χρὴ σημείων συνιδεῖν τὸν ἐντὸς πόνον τοῦ ἱέρακος· πόθεν γίνεται· καὶ πῶς θεραπεύεται·

ΕΑΝ ἱέραξ ἑστὼς ἐπὶ τῆς χειρὸς, ἢ καὶ ἐπὶ τοῦ ξύλου, πυκνότερον ἀναπαύεται, καὶ ἀφιστάμενος βραδέως ἀνίπταται, καὶ πάνυ ὀλίγον ἐσθίει, καὶ στυγνὸς ὑπάρχει, τήν τε κόπρον μέλαιναν καὶ παχεῖαν ἐκπέμπει, καὶ μάλιστα νεαρὸν κρέας καὶ καθαρὸν εἰληφώς, γίνωσκε αὐτὸν ὀδυνώμενον ταῦτα πάσχειν τὰ σημεῖα, ἅτινα συμβαίνει ὑπὸ χυμῶν παχέων μήπω συντακέντων γίνεσθαι ἐν τῇ κοιλίᾳ, ἔκ τε κρεῶν ὀδωδότων καὶ βοτανῶν, ἃς ἐπὶ τῆς γῆς πολλάκις καθεζόμενος ἕλκει καὶ κατεσθίει τῷ στόματι· θεράπευσον δὲ οὕτως· λαβὼν ἀνδράχνην, καὶ ὀλίγον τρίψας, ἔπειτα βουτύρῳ συμμίξας, δίδου τῷ ἱέρακι μετὰ κρέως προβάτου θερμοῦ, ἢ καὶ πήγανον, ὃ ῥωμαῖοι προσαγορεύουσι ῥοῦταν, λειώσας οἴνῳ παλαιῷ, δίδου ἐπιμελῶς καθ' ἑκάστην ἡμέραν κοχλιαρίων τριῶν ποσότητα ἐπὶ τρισὶν ἡμέραις, καὶ ἀπαλλάξεις τῆς νόσου.

## Εἰς ἀφανῆ νόσον ἱέρακος.

Ἱέρακος δείκνυται νόσος ἀφανὴς, ὅταν ἐπὶ θήραν μὴ βούλεται ἀπογεύσασθαι· τότε ἴσθι αὐτὸν τὴν ἐντὸς τι πάσχειν· δὸς οὖν αὐτῷ μέλι καὶ βούτυρον μετὰ κρέως θερμοῦ, καὶ θεραπεύσεις· κάλλιστον δὲ ποιήσεις, ἐὰν δώσεις αὐτῷ εἰς θερμοφαγίαν, περιστερὰν νεοττόν. πασῶν γὰρ τῶν ἀντιδότων σχεδὸν τὸ θερμοφαγεῖν ἐστὶ κρεῖττον.

## Εἰς στυγνὸν καὶ ἀκηδιακότα.

Λαβὼν βούτυρον νεαρὸν, καὶ ἀρσενίκου κόκκινον, καὶ σανδαράχην, τὸ τρίτον τοῦ βουτύρου μίξον εἰς ἓν, καὶ μετὰ κρέως νεοσφαγοῦς εἰς θοίνην τῷ ἱέρακι δίδου.

## Ἄλλο.

Σημεῖον τούτου· ἀεὶ ἰσχνός ἐστι, στυγνάζων καὶ φείσσων τὴν ἰδέαν· τούτου θεραπεία· περιστερὰν λαβὼν πότισον αὐτὴν μελίκρατον περὶ μιᾶς ἡμέρας, εἶτα οὕτως παράβαλε, καὶ θεραπεύσεις.

## Πρὸς πάθη ἀπόκρυφα καὶ πλήγματα ἔνδοθεν.

Στύρακος προφάτης γράμμ. ἥμισυ· βουτύρου νεαροῦ οὐγγ. α΄. μυελοῦ ἐλαφείου οὐγγ. α΄. μέλιτος καλοῦ, καὶ ἐλαίου ἰσπανικοῦ τοῦ ἀρκοιῶ. ταῦτα μίξας θέρμανον ἐπὶ μαλθακοῦ πυρὸς μέχρις ὅτου μιγνῶσι, καὶ ψύξας, δίδου φαγεῖν μετὰ κρέως, ἢ εἰς δέρμα μυὸς ἐμβαλὼν, καὶ ἀποκαταστηθήσεται ὑγιὴς ὁ ἱέραξ, ἕως τὰ ἔνδον πάθη.

Ἄλλο.

Ἐγκέφαλον προβάτου, δὸς αὐτῷ μετὰ ῥέου ποντικοῦ κεκομμένου καὶ σεσησμένου.

Ἄλλο.

Περιστερὰν πότισον ἐψήματι, καὶ ἔασον ταύτην ἐπὶ μίαν ἡμέραν, εἶτα ζῶσαν τῷ ἱέρακι δίδου φαγεῖν.

Ἄλλο.

Λαβὼν κοῖλον ἀγγεῖον, ἔμβαλλε μέλι, καὶ ἐλαίου ἰσπανικοῦ ἀνὰ κοχλιάριον μίαν, καὶ ὤου τὸ λευκὸν· καὶ ἀναφυράσας, ἐπίπασσε κεκομμένα· ἁλὸς καππαδοκικοῦ, νίτρου γράμμ. δύο· εἶθ' οὕτως μικρὰ μέρη κρεῶν ἔμβαλλε, καὶ δίδου τῷ ἱέρακι.

## Εἰς λεπτυνόμενον ἀδήλως.

ΕΑΝ μὴ πάθους προηγουμένου λεπτύνηται τὸ ὄρνεον, καὶ ἐστὶν ἀνόρεκτον, βουτύρου παλαιὸν ὀλίγον ἐμβάλλων, ἔνθερμον, παράβαλε, καὶ θεραπεύσεις· εἶτα θεραπίδια καὶ στάκτην δρυΐνην λαβὼν ἔχε μετ' ἀνάγκης, καὶ λοιπὰ διάφορα στρουθία θηρῶν αὐτῷ,* παράβαλε κατ' ὀλίγον, καὶ θεραπεύσεις τὸ πάθος κατὰ μικρόν. κατὰ βάθος γὰρ ὄν, οὐκ ἂν ἐν βραχεῖ ἰαθήσεται.

## Πρὸς φθίνοντα.

ΛΑβὼν περιστερὰν, καὶ ποτίσας αὐτὴν ὄξος, δῆσον αὐτῆς τὸ στόμα, ὥστε μὴ ἀποβλύζηται τὸ ὄξος, καὶ κρεμάσας, ἔα, ἕως οὗ τὸ κρέας αὐτῆς διαλυθῇ, εἶτα δίδου φαγεῖν.

## Πρὸς πᾶν νόσημα ἱέρακος.

ΛΑβὼν σιναπίδιν καὶ πιτύαν τοῦ γάλακτος λευκὴν, ἧς ἡ πνοὴ δριμεῖα, δίδου μετὰ κρέως τῷ ἱέρακι, ὡσεὶ κεράτιον ἕν· δεῖ δὲ ἱστᾶν αὐτὸν εἰς ὕδωρ ἐπὶ πλείστας ὥρας* καλόν· καὶ ἐὰν τοὺς μυκτῆρας αὐτοῦ ἀλείψῃς, ἵνα σπᾶται

διὰ τὴν μυκτήρων τὴν τοῦ φαρμάκου δύναμιν.

Πρὸς λιπαρὸν ἱέρακα, καὶ τῆς θήρας ἀμελοῦντα, λεπτῦναι, καὶ θηρατικὸν ἀποφῆναι.

ΤΟΝ ἀπὸ τρυφῆς ὑπερσαρκήσαντα, καὶ διὰ κόρον ὑβρίζοντα, καὶ ἀμελοῦντα τῆς θήρας, λεπτυνεῖς οὕτως, καὶ ἐπανάξεις εἰς τὸ θηρᾶν. χελώνην ἔνυδρον λαβὼν, δίδου φαγεῖν ἅπαξ τῆς ἡμέρας, ἢ καὶ δὶς, ἕως οὗ εἰς μέσην ἐκ τῆς πολυσαρκίας ἀποκαταστῇ. κενώσεις γὰρ τὰς πληρώσεις, καὶ ἐνδεία τροφῆς καὶ τέχνης * φύσις παρακελεύεται.

Ἄλλο.

Λαβὼν γλίχωνα καὶ σκόρδον τὸ ἴσον, τρίβε ἀμφότερα, καὶ μετὰ βοείου κρέατος δίδου φαγεῖν, καὶ ἰσχνὸς ἐνταῦθα γενήσεται, ὥσπερ τι ἄχθος τὸ ἐκ τῆς ἀπληστίας ἀποσεισάμενος.

Εἰς ἰσχνωθέντα ἱέρακα ἐξ ἀδήλου αἰτίας.

ΧΟίρειον κρέας μετὰ ἐλαίου κοινοῦ δίδου τῷ ἱέρακι πρὸς τὸ ἀνακτᾶσθαι αὐτὸν, καὶ αὐθέως γενήσεται λιπαρός.

Εἰς

## Εἰς ἀνάκτησιν ἱέρακος.

ΑΝακτώμεθα ἱέρακα ποτίζοντες ἀφέψημα συμφύτου, διδόντες φαγεῖν χοίρειον κρέας μετὰ βουτύρου καὶ μέλιτος· τὸν δὲ ὑπὸ τροφῆς ἀμελοῦντα τῆς θήρας λεπτυνεῖς, εἰ δώσεις φαγεῖν χελώνην ἔνυδρον.

Ἄλλο.

Κόκκου γηπονόμου μετὰ κρέως χελώνης ἀνύδρου ἐπὶ τρισὶν ἡμέραις δίδου καὶ λεπτυνθήσεται.

## Πρὸς καύσωνα ἱέρακος.

ΤΟὺς ἱέρακας τοὺς ἐν θέρει θηροῦντας ἀνάγκη καυματοῦσθαι ὑπὸ χολῆς· καὶ ἡλιωθέντα αὐτὸν πολὺ, δίδου λεκίθοις ὠοῦ φαγεῖν μετὰ ῥοδίνου, πέμπειν τε εἰς ὕδωρ, καὶ εἰς εὔπνουν τόπον ἱστᾶν.

## Πρὸς ἐγχόλωσιν ἱέρακος.

ΤΟΥ ἀνέφθου καὶ ἐλαίου ἱσπανικοῦ, καὶ οἴνου παλαιοῦ τὸ ἴσον, εἰς ἀγγεῖον βαλὼν, καὶ ἀναμίξας, δίδου μετὰ κρέως ἐμβάπτων.

## Εἰς κοπωθέντα.

ΜΥΝ λαβὼν, περιστερίου δίδου φαγεῖν· καὶ ἰάσεις.

## Εἰς ψυχθέντα.

ΠΟλλοὶ μὲν τὸ ζῶον εἰς θέρμην ἀπήγαγον, καὶ ἐθέρμαινον, ἀλλ' οὐδὲν ὠφέλησαν, χεῖρον δὲ ἐποίησαν· πλύξας οὖν καὶ τυλίξας ἱματίῳ, ἀπόθου εἰς ἐπιτήδειον τόπον· βούτυρον δὲ μετὰ κνίδης σπέρματος, δίδου αὐτῷ εἰς τὸ θερμανθῆναι, καὶ ἀνακτήσεις.

## Εἰς χολωθέντα ἱέρακα.

ΠΡοΐμων στερῶν τὰ ἱεράκια, τουτέστι λήγοντος τοῦ θέρους, ἢ ἀρχομένου φθινοπώρου, καὶ περσίμως πάνυ κρατηθέντος ἐν τῆς ἀγριότητος, καὶ χρονίσαντος ἐν κονταρέῳ, καὶ ἡλιωθέντος, ἢ κοντομαχήσαντος θαλφθέντος καὶ ἀγωνιάσαντος, χολωθήσεται. σημεῖα δὲ τοῦ πάθους· στυγνὸς ὅλος ἐστὶ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ξηροὶ, καὶ στυγνοὶ, καὶ κοῖλοι φαίνονται· ἐφίεται ὕδατος, πολλὰ, καὶ τρέμει ὅλος· τὰ πτερὰ δὲ ἐσπαρμένα, καὶ ἀνώμαλα ἔχει· καὶ ποτὲ μὲν συστέλλει, πο-

πὲ δὲ ἁπλοῖ. τοὺς πόδας ἔχει ἐπιμελαίνους καὶ ψυχρούς, ἀπὸ τῶν ὀνύχων μέχρι τῶν γονάτων καὶ ἀποτζυλὰ διεσπαρμένα καὶ δυσώδη, καὶ ὀδυνᾶται ἐν τῆς ἀμέτρου χολώσεως καὶ ξηρότητος· θεράπευσον οὖν οὕτως· ὕδωρ ῥόδινον ἐγχυμάτιζε, καὶ τροφὴν παρέχε ἀπὸ ῥοδίνου καὶ ὀμφακίνου ἐλαίου, μετ' αἰγείου κρέατος, καὶ στῆσον ἐν τῇ γῇ ψύχος ἐχούσῃ, καὶ ἔασον ὅλην τὴν ἡμέραν· τῇ νυκτὶ δὲ, εἰς ὕπαιθρον ἵστα τόπον, καὶ ἀπὸ τούτου θεραπευθήσεται. θερμὴν δὲ τροφὴν μηδ' ὅλως δώσῃς. ἀλλὰ μηδὲ βαστάσῃς αὐτὸν μέχρις ἰάσεως παντελοῦς· πινέτω δὲ ἑσπέρας ὕδωρ, ἵνα τὸ θερμὸν τῆς χολῆς κερασθῇ τὸ ψυχρὸν τῆς πόσεως.

## Πρὸς κοπωθέντα καὶ μὴ ἐσθίοντα.

ΤΟΝ ἐν θήρας ἢ μικρᾶς πλήσεως κεκοπωμένον, καὶ ἀμελοῦντα τροφῆς, ἐπανάξεις εἰς ἔφεσιν τροφῆς, εἰ χοίρειον κρέας εἰς ὄξος δριμὺ ἐμβαλὼν ἐάσῃς αὐτὸν καλῶς ποιωθῆναι· εἶτα δώσῃς μερίδας τρεῖς, καὶ ἀνακληθήσεται ἡ αὐτῆ ὄρεξις.

## Πρὸς πεφυσημένον ἱέρακα.

Φυσᾶται πολλάκις ἱέραξ, ἢ ὅταν πληγῇ ἀπὸ ἄλλου ἱέρακος, ἢ ἀπὸ τοῦ εἰσελθεῖν εἰς βάτον, καὶ νυγῆναι ταῖς ἀκάνθαις· καὶ θεραπεύσεις οὕτως· πλύξας τὸν ἱέρακα χλιαρῷ ὕδατι, κατάβρεχε ὅλον τὸ σῶμα αὐτοῦ, καὶ βελόνῃ ῥαπτικῇ, κέντει μέν τι τὸ φυσηθὲν δέρμα ἐλαφρῶς πάνυ, ὥστε μὴ ἅψασθαι τῆς σαρκός· καὶ ἐκφυσᾶται· εἰ δὲ ἐπιμένῃ τὸ φύσημα, θηριακὴν ὑγροτέραν ὡς μέγεθος κυάμου, οἴνῳ παλαιῷ διάλυσον, καὶ ἐγχυμάτισον τὸν ἱέρακα διὰ στόματος, καὶ ἰαθήσεται· εἰ δὲ ἐν βουβῶνι, ἢ ἐν μασχάλῃ πληγῇ. ῥόδινον καὶ κηρὸν τήξας μαλθακῷ πυρί, βάλε καὶ σύμφυτον κεκομμένον, καὶ λεπτὸν πάνυ, καὶ ἀναμαλάξας, ἐπίθες τῇ πληγῇ.

## Πρὸς πεφυσιωμένην ἔχοντα τὴν γοῦλαν.

Χαλκῇ ῥαφίδι καταπίξωσκε αὐτήν, καὶ οἰνελαίῳ θερμῷ ὕγρανον· καὶ καλῶς ἕξει.

## Εἰς τὸ αὐτό.

Σημεῖον τοῦτο δείκνυσιν ἡ ὄρνις· σκοτοῦται,

καὶ στῆναι οὐ δύναται· δίδου οὖν αὐτῷ γλυκυρίζης, καὶ μαλάχης τὸ ἴσον.

### Πρὸς κακοστομαχοῦντα ἱέρακα.

ΕΑΝ ἀπὸ κακοχυμίας κακοστομαχήσῃ ἱέραξ, λαβὼν ῥόδινον παλαιὸν μετὰ κρέως, δίδου αὐτῷ φαγεῖν· γνωρίζεται δὲ ἀπὸ τοῦ χασμᾶσθαι αὐτὸν δι' ὅλης τῆς ἡμέρας.

### Ἄλλο.

Δίδου αὐτῷ μετὰ κρέως ὀπιοῦ, κυρηναϊκοῦ καὶ λασαρίου, ὅσον μέγεθος κόκκου πεπέρεως, καὶ παραχρῆμα ὄρεξιν αὐτῷ ἐμποιήσεις, καὶ ἀποκαταστήσεις εὔρωστον.

### Εἰ ἀτονῇ, ἢ ἀνορεκτῇ, πόθεν δεῖ γνωρίσαι, καὶ πῶς θεραπεύσεις.

ΠΟλλάκις ἀπὸ καμάτου πολλοῦ συντριβεὶς, ἢ κακῶς βασταχθεὶς, ἢ κακῶς συλληφθεὶς τῷ τῆς χειρὸς ἀποπτῶσαι, ἢ μαχησάμενος πρὸς ὄρνεον ἰσχυρὸς, ἢ προσραγείς τινι τῷ κοιλοτέρῳ μέρει τοῦ σώματος, ἢ ἐπὶ τοῦ ξύλου στρεβλωθέντος τοῦ δεσμοῦ, ἐκλύεται τὸ στόμαχον, καὶ εἰς τὸ τῆς ἀπεψίας ἐμπίπτει

πάθος· γνωρίζεται δὲ πρῶτον ἀπὸ τοῦ μὴ συνήθως ἐσθίειν, ἢ τὴν τροφὴν μηδόλως ἐθέλειν λαβεῖν, ἢ καὶ λίαν βραχὺ λαμβάνοντα, ἢ καὶ βραδύτερον ἀπεπτοῦντα, ἢ καὶ ἑστῶτα, ἢ καὶ ἀφεθέντα εἰς θήραν ὀλίγον, ἢ οὐδ' ὅλως πτῆναι δυνάμενον, ἢ καὶ περὶ τὴν ποδῶν τοῦ θηρατοῦ ἀποκρίνοντα ἡμίπεπτον τὴν τροφήν· θεραπεύσεις οὕτως· ὠοῦ τὸ λευκὸν ἐπιμελῶς χωρίσας τοῦ κροκώδους, βάλε εἰς θυΐαν σὺν μέλιτι μέχρι ἡμίσεως κοχλιαρίου, καὶ ἐλαίου ἰσπανικοῦ κοχλιαρίαν μίαν, καὶ ἀμιναίου οἴνου τὸ ἴσον· πεπέρεως κόκκους τρεῖς ἰδίᾳ τρίψας καὶ ἑνώσας, καὶ τὸ κρέας χρίσας δίδου αὐτῷ φαγεῖν· εἰ δὲ μὴ θέλῃ λαβεῖν, κρατήσας αὐτὸν εἰς τὸν κόλπον, καὶ μικρὰ λίαν τεμμάχια διελὼν τὸ κρέας, εἶτα ἐμβρέξας σταθμὸν οὐγγ. α'. καὶ θεασάμενος αὐτὸν πέψαντα εἰς τὸ ἀφόδευμα πεπεμμένον ἐστὶν, οἷον τὸ κατὰ φύσιν, πρόσθετε τῇ τροφῇ, ἄγεις αὖ εἰς τὸ ὡρισμένον καταστῆ μέτρον· καὶ εἰ μὲν ἅπαξ δὶς θεραπεύσεις, εὖ ἂν ἔχῃ· εἰ δὲ μή γε, κέχρησο τῇ αὐτῇ θεραπείᾳ μέχρι τριῶν ἡμερῶν, καὶ ἀναμφιβόλως ἀπαλλάξεις αὐτὸν τοῦ πάθους,

καὶ ῥαφάνης σπέρμα λειοτριβήσας μετ' οἴνου ἀψινθίτου μὴ ἑψηθέντος, βρέχων κρέας, δίδου φαγεῖν· εἰ δὲ μὴ βούλεται φαγεῖν, κατασχὼν αὐτὸν ὡς προείρηται τῶν ποδῶν θεραπεύσεις, καὶ προβάτου δὲ παράχρημα σφαγέντος κεφαλὴν θερμὴν δὸς αὐτῷ φαγεῖν, καὶ θεραπεύσεις.

Πῶς ἀπεψίαν γνωρίσεις, καὶ ὅπως θεραπεύσεις.

Πᾶσα νοεῖται ἡ ἀπεψία παρὰ τοῦ θηρευτοῦ. φέρει γὰρ καὶ λείψανον τῇ ἐπιούσῃ ἡμέρᾳ. τοῦτο δὲ πάσχει, ἢ δι' ἀτονίαν καὶ πολὺν κάματον, ἢ διὰ κρέως πλῆθος ἀμέτρου δοθέντος αὐτῷ, ἢ διὰ τὸ μὴ παντελῶς κινεῖσθαι, ἢ διὰ τὸ κακῶς βασταχθῆναι, ἢ συλλεχθῆναι ἀτέχνως, ἀπαλλάξεις δὲ αὐτὸν τοῦ πάθους τῇδε τῇ θεραπείᾳ· στακτὴν δρυΐνην λαβὼν, καὶ ὕδατι ταύτην διηθήσας, κέλευε ῥοφᾶν τὸν θηρατὴν, ὅσον λαβεῖν τὸ στόμα αὐτοῦ δύναται, καὶ κρατήσας τὸν ἱέρακα, ὡς προείρηται, ἐμβαλέτω τῇ φάρυγγι αὐτοῦ, καὶ ῥάκει δὲ ἠρέμα θερμαίνων, προσαγέτω τῇ ἀπέπτῳ τροφῇ· ὅταν δὲ πέψῃ, μετ' ὀλίγον δὸς αὐτῷ τροφὴν βραχεῖαν, χρώ-

μένῳ τῇ διὰ τοῦ ᾠοῦ θεραπείᾳ τῇ ἀνωτέρω γεγραμμένῃ· βέλτιον δὲ ποιήσεις, εἰ δοίης τὴν θεραπείαν σὺν κρέατι θερμῷ· εἰ δὲ μηδενὸς τῶν προῤῥηθέντων σημείων φαινομένων φαγεῖν μὴ θέλῃ ὁ ἱέραξ, οὐδὲν ἔλαττον χρήσῃ τῇ προῤῥηθείσῃ θεραπείᾳ, καὶ τοῖς ἄλλοις βοηθήμασιν πρὸς ἀνάληψιν τῆς δυνάμεως αὐτοῦ.

## Εἰς συμπεπλοῦντα καὶ ἀναβάλλοντα τὰ κρέατα.

ΟΙνον παλαιὸν δὸς αὐτῷ μετὰ κρέως, καὶ εἰς ὄρεξιν ἔλθῃ· καὶ μετὰ μίαν ἡμέραν πέντε κόκκοις γηπονόμου κόψας, δίδου αὐτῷ μετὰ τεμμαχίου κρέως, ἵνα μὴ ἐμπαθὴς γένηται.

## Εἰς ἀπεπλοῦντα.

ΕΑΝ ἀπεπλῇ ὁ ἱέραξ καὶ ἐμῇ τὴν τροφὴν, θεράπευε οὕτως· κόστου φύλλα ἀνὰ δραχμὴν μίαν· λασάρου δραχμῆς ἥμισυ. πρόσθου μέλιτος ἀναμίγνυε, καὶ δίδου τῷ ἱέρακι· καὶ ὀλίγον αὐτὸν διαστήσας, δίδου περιστερὰν εἰς τροφήν.

Αλλο

## Ἄλλο πρὸς ἀπεπλουῶτα ἱέρακα.

Κρόκου ὠοῦ νεαροῦ, καὶ μέλιτος, καὶ ἐλαίου τὸ ἀρκοῦν μίξας, καὶ φυράσας, δὸς αὐτῷ φαγεῖν μετὰ κρέως· τινὲς δὲ καὶ οἶνον μιγνῦσι, ὡς ἐνεργέστερον αὐτὸν ποιῆσαι.

### Ἄλλο.

Εἰς τρία πεμμάχια κρέως ῥέου ποντικὸν βαλὼν, δίδου φαγεῖν.

### Ἄλλο.

Φύλλα ναρδοστάχυος καὶ γηπονόμου ἶσα τρίψας καὶ μίξας οἴνῳ ἀμιναίῳ ἐγχυμάτιζε.

### Ἄλλο.

Γηπόνομον λειώσας βάλε μέσον τοῦ κρέως. πεινῶντι δὲ αὐτῷ παράβαλλε τοῦ μὴ αἰσθέσθαι τῆς ὀδμῆς, ἐπεὶ οὐ μὴ λάβῃ αὐτό.

## Εἰς ναυτιῶντα.

Λαβὼν * ἄσαρον, εἰς ὕδωρ ἔμβρεχε, καὶ ἐν αὐτῷ χοίρειον κρέας, καὶ δίδου τῷ ζώῳ κατὰ μέρος, καὶ ἕως οὐδὲ τρώγει, βρέχε ἐξ αὐτοῦ τοῦ ὕδατος τὸ κρέας.

## Πρὸς ἐμέσαντα.

ΕΜέσας ἱέραξ γνωρίζεται ἀπὸ τοῦ εἶναι συγνός· θεραπεύεται δὲ· φύλλου μέρος ἓν, καὶ κόστου τὸ ἴσον· πεπέρεως κόκκοις δύο· κόψας ταῦτα, καὶ μέλιτι φυράσας, δίδου φαγεῖν ἐπὶ μίαν ἡμέραν.

## Εἰς βλαβέντα τὸν στόμαχον, καὶ περὶ ἀνορεξίας.

ΕΑΝ διαμείνωσιν αἱ τροφαὶ ἐν τῷ στομάχῳ τοῦ ἱέρακος ἄπεπτοι, ὃ καὶ γοῦλα ὀνομάζεται, καὶ ταῦτα οὐκ ἐμέσῃ, ἄχρι δεκάτης ὥρας τῆς ἡμέρας μηδὲν λαβέτω, ἀλλὰ χλιαρὸν ὕδωρ μετ' ἐλαίου καὶ ἁλὸς ἀναπλύξας τὸ στόμα αὐτοῦ ἔξω, ἢ θαλάσσιον ὕδωρ χλιαρὸν, καὶ μετὰ μίαν ὥραν ἡμέραν ἀποπατήσει, καὶ ὠφεληθήσεται. εἶτα λαβὼν στρουθοὺς τρωγλίτας δύο, δίδου ζῶντας αὐτῷ πρὸς τροφήν· εἰ δὲ περὶ τροφῆς ἐμέσῃ, μηδὲν λαβέτω. εἰ μὴ μόνον ὑδρέλαιον χλιαρὸν, καὶ τῇ ἑξῆς κρατήσας ὄρνιθος κατοικιδίου νεοττὸν, καὶ οἶνον ποτίσας, καὶ ἐλαύνων ἐπὶ πολὺ, δὸς σὺν τοῦ αὐτοῦ μέρους ἐμφαγεῖν αὐτόν· ἐμπιεῖν δὲ καὶ τοῦ αἵματος· εἰ δὲ μὴ ἰσχύσῃ

φαγεῖν αὐτὸν, ἐμπιεῖν δὲ καὶ τοῦ αἵματος. εἰ δὲ μὴ ἰσχύσῃ φαγεῖν, πιέτω μόνον τὸ αἷμα· εἰ δὲ ἐκ τούτου μηδεμίαν ὠφέλειαν δέξοιτο, μυῶ, ἢ νυκτερίδα λαβὼν τούτῳ δίδου φαγεῖν, καὶ ὠφεληθήσεται.

Επι περὶ ἐμέτου.

Βούτυρον νεαρὸν, καὶ μέλι, καὶ ἀφρόνιτρον, καὶ μυγαίνης περιστερᾶς κόπρον, καὶ ἔντερα γῆς δεσμώσας ἐν ῥάμματι, κρέμα μέχρι τοῦ ψυγῆναι· οὖρον δὲ ἀνθρώπινον λαβὼν, καὶ οἶνον ὀλίγον, πάντα μίξον αὐτοῖς, καὶ τὸ κρέας ἐμβάπτων, δίδου τῷ ἱέρακι.

Ἄλλο.

Θηρεύσας νυκτερίδας ε΄. σφάξον αὐτὰς, καὶ τὸ αἷμα αὐτῶν ὑπόδεξαι ἐν ἀγγείῳ ὑελίνῳ, καὶ ἔα ξηρανθῆναι, καὶ τρίψας λεπτῶς, ἰδίᾳ ἔχε. καὶ ὅταν χρεία γένηται, θηρεύσας ἑτέρας τρεῖς, ἐμβρέξας οἶνον παλαιὸν εὐώδη, ἐπίπαττε ἐκ τοῦ ξηροῦ, καὶ δίδου τῷ ἱέρακι ἐσθίειν.

Περὶ τοῦ τὸ ἧπαρ πάσχοντος.

Ἧπαρ παθὼν ὁ ἱέραξ, ἢ ὑπὸ κυνὸς ἀναχθεὶς, ἐκ τοῦ σημείου τοῦδε γνωρίζεται

στυγνὸν ἔχει τὸ εἶδος, καὶ τοὺς πόδας πελιδνοὺς, *κιτρίνους. ὄροβον οὖν λειώσας καὶ φυράσας μέλιτι, καὶ ὡς πασέλιον ποιήσας, δὸς αὐτῷ, καὶ ἀποκαταστήσεις αὐτὸν ὑγιῆ.

Ἄλλο.

Ἀξούγγιον προσφάτου φασιανοῦ δίδου φαγεῖν, καὶ ἰαθήσεται.

## Περὶ ἑλμίνθων.

ΕΚ τούτων τῶν σημείων ἐπιγνώσῃ τὸν ἱέρακα εἰ ἔχῃ ἕλμινθας· ἱστάμενος ἐπὶ τοῦ κοντοῦ, ὅταν βούληται καταπλάσαι τὰς ἑαυτοῦ πτέρυγας, ἐμποδίζεται, ὡσεὶ εἶχε τὰ νεῦρα διεστραμμένα, τρέμει, καὶ τοὺς πόδας ἕνα παρ᾽ ἕνα πεταννύει, ἐκ τῆς τοῦ βαστάζοντος χειρὸς, ἢ ἐκ τοῦ κοντοῦ, καὶ ἀποτίλλει τὰ πτερὰ αὐτοῦ, ἢ τὰ ἀπὸ τοῦ στήθους, ἢ τὰ ἐκ τῶν μηρῶν· οὐ θέλει τε ἵστασθαι, οὔτε εἰς χεῖρα, οὔτε εἰς κοντόν· καὶ ἀπὸ τοῦ πατήματος γινώσκεται· ἀποκρεμᾶται γὰρ ὡς ἕλμινς· θεραπεύσεις οὖν οὕτως· λαβὼν καρπὸν βαλσάμου κόκκους τρεῖς, καὶ ἐλαφείου μυελοῦ, καὶ κνίδης ὀλίγους κόκκους, καὶ μελάνθης τὸ ἴσον, ὁμοῦ πάντα λειώσας, καὶ περδικκίδιον βα-

ταύτην περιμεμβρασμένην συγκόψας καὶ μίξας τοῖς προειρημένοις, δὸς τῷ ἱέρακι μετὰ πέρδικος κρέως· ἐὰν δὲ τούτου μὴ εὐποροίης, κἂν ὄρνιθος κατοικιδίου, καὶ ἐκφέρει τοὺς ἕλμινθας, ἢ διὰ τοῦ στόματος, ἢ διὰ τῆς ἕδρας.

Ἄλλο.

Ἱέραξ ὀχλούμενος ὑπὸ ἑλμίνθων, πλήσει κέχρηται πολλῇ καὶ συνεχεῖ. ἴασις οὖν, εἰ μετὰ παστίλλου δώσεις πέπερι φαγεῖν.

Ἄλλο.

Ἐλάφου μυελὸν καὶ γηπόνομον λειώσας, δίδου αὐτῷ μετὰ κρέως, καὶ ῥίπτει τὰς ἕλμινθας.

Ἄλλο.

Σησάμου λαβὼν καὶ μελάνθης τὸ ἴσον, κόψας καὶ λειώσας, ἐπίπασσε τούτοις καὶ στάκτην δρυΐνην, καὶ ἀναμίξας μετὰ κρέως δίδου φαγεῖν τῷ ἱέρακι, καὶ ὑγιῆ ἀπεργάσῃ.

Ἄλλο.

Ἀλόην καθαρὰν λαβών, καὶ λείαν ποιήσας μετὰ μελικράτου, ἐγχυμάτιζε τῷ ζώῳ.

Ἄλλο.

Λαβὼν σκόροδον, χύλωσον, καὶ τὸν χυλὸν μετ' ὀμφακίνου ἐλαίου ἐξ ἴσου μίξας, ἐγχυμάτιζε.

## Εἰς πόνον ἐντέρων.

ΟΤΑΝ τὸ ἔντερον πονῇ ὁ ἱέραξ, ἐκ τούτου δείκνυται· ἐκ τοῦ σφίγγειν συνεχῶς τὴν χεῖρα τοῦ βαστάζοντος τοῖς ποσὶ, καὶ τὸν κοντὸν λακτίζειν ἐν τῷ καθέζεσθαι. τινὲς οὖν εἰρήκασι, σανδαράχην δίδοσθαι αὐτῷ μετὰ κρέως θερμοῦ καὶ βουτύρου.

### Ἄλλο.

Εἰ δὲ τὰ ἐντὸς πάσχει πάντα σὺν τοῖς ἐντέροις, τότε δίδοσθαι αὐτῷ οἶνον ἀμιναῖον, μετὰ ῥυτῆς βοτάνης λελειωμένης, ἡμέρας τρεῖς ἀνὰ κοχλιάρ. α΄.

## Πῶς χρὴ τὸν λιθιῶντα ἐπιγνῶναι, καὶ ἐκ ποίας αἰτίας οἱ λίθοι γίνονται.

ΓΕννᾶσθαι ἐν τοῖς σπλάγχνοις εἴωθε λίθους, κρέας λιπαρὸν λαβόντος τοῦ ἱέρακος, ἢ ὄζον, ἢ * ἡμερῶν πολλῶν· καὶ τὸ τοῦ ἐρωδιοῦ δὲ κρέας δοθὲν, λιθοὺς ποιεῖ· γνωρίζεται δὲ πρῶτον μὲν, ἀπὸ τοῦ μετὰ ἀνάγκης ἀποπατεῖν· δεύτερον δὲ ἀπὸ τῆς κόπρου· ἐκπεμφθεῖσα γὰρ ἐπ' ὅλου ἐδάφους συνημμένη, καὶ ἀδιάκοπος κεῖται· ὥσπερ

τῶν ὑγιαινόντων δείκνυται, ῥάβδοις παραπλησίως τὴν ἔκτασιν ἔχουσα, ἀλλὰ διακοπτομένη, καὶ πάχεσις ὁμοία κειμένη· συμβαίνει δὲ διὰ τὸ μετ' ἀνάγκης ἐμπέμπεσθαι, διὰ τὸ τὸν ἐμπίπτοντα λίθον τῷ πόρῳ ἐμποδίζειν τὴν ἔξοδον τοῖς ὑγροῖς· ἀπὸ μόνης δὲ τῆς κόπρου, οὐδεὶς δύναται διαγνῶναι τὸ πάθος, μεταβαλομένης αὐτῆς· σημειώσῃ δὲ καὶ ἑτέρῳ τρόπῳ· ἐὰν ἐφεστὼς τῇ χειρὶ τοῦ θηρατοῦ, ἢ τῷ ξύλῳ σαλεύῃ συνεχέστερον, γίνωσκε αὐτὸν ὑπὸ λίθου ἐνοχλούμενον τοῦτο ποιεῖν, καὶ θεραπεύσεις οὕτως· ἀνελομένης αὐτῆς· σημειώσῃ δὲ καὶ ἑτέρῳ τρόπῳ· γογγύλην ἀπὸ γῆς, καὶ ταύτην κοιλάνας εἰς βάθος, ἔμβαλε ἅλας τραχὺ, ὅσον λαβεῖν δύνασαι τοῖς δύο δακτύλοις, εἶτα εἰς χύτραν ἔμβαλε * καινὴν, ἐπιθεὶς ἄνθρακας ἐν αὐτῇ· καὶ ἐπειδὰν λυθῇ τὸ ἅλας τῆς γογγύλης, εἰς αὐτὸ βάψας χοίρειον κρέας νεαρὸν, δίδου φαγεῖν· μετὰ δὲ βραχὺ εἰς ὕδωρ αὐτὸν δῦσον σχεδὸν ὅλην τὴν ἡμέραν, καὶ ἔα ἑστάναι, ὡς αὐτὸν ἱδρούμενον τῷ ὕδατι διὰ τὸ ἐκπεφράχθαι ἐκ τῆς ἅλμης, καὶ διψῶντα δὲ, ἄφες πιεῖν, ὅσον δύναται· τοῦτο γὰρ διαλυθὲν ὑπὸ τοῦ φαρ-

μάκου τὸν λίθον ἐκβάλλει κατὰ λεπτόν. τοῦτο δὲ ποιήσας, χρῶ καὶ ταύτῃ τῇ θεραπείᾳ· μελάνθης σπέρμα τρίβε μετὰ μέλιτος καὶ ἐλαίου, καὶ δίδου τρὶς τῆς ἡμέρας· τῇ δ᾽ ἑξῆς εἰς νεαρὸν κρέας ἁλὸς βραχὺ ἐγκρύψας, δίδου τὸ κρέας φαγεῖν· τῇ δὲ τρίτῃ, δίδου περιστερᾶς νεοσσὸν μικρόν, μηδέπω ἔχοντα πτερὰ πολλά, ἵνα μετὰ τῶν ὀστέων συγκοπέντα αὐτὸν φάγῃ· ἔστι δὲ ἄλλως θεραπεῦσαι· ἐπειδὰν ἀπὸ τῆς χειρὸς ἐσώτατα ἴδῃς ἀποπατῆσαι βουλόμενον, μὴ δυνάμενον δέ, ἅμα τῷ ἀνοῖξαι τὸν δάκτυλον, ὑποβαλὼν τῆς δεξιᾶς χειρὸς τοὺς ἰατρικοὺς δύο δακτύλους, κάτωθεν ἄνω σφίγγε τὸν λίθον πλησίον ὄντα τοῦ δακτύλου· φέρει γὰρ αὐτὸν ἐγγὺς ὑπὸ τῆς ἀνάγκης· ἔπειτα πάσας, καὶ ἐξελὼν τοῦτον, θεράπευσον τὸν τόπον ἐλαίῳ ῥοδίνῳ, ὅθεν εἴληφας τὸν λίθον· καὶ αἷμα τράγου παχὺ, καὶ ἀντὶ κρέως δοθὲν οὐγγ. α΄. λύει τὸν λίθον. πλέον δὲ δοθὲν βλάπτει αὐτόν· καὶ μῦς δὲ δοθεὶς αὐτῷ εἰς θοίνην, εἰ καὶ βραδύτερον τοῦ τραγείου αἵματος, ἀλλ᾽ ὅμως λύει τὸν λίθον. τινὲς δὲ βούτυρον εἰρήκασιν ὠφελεῖν.

Ἄλλο.

Ἄλλο.

Συμβαίνει λιθιᾶν τοὺς ἱέρακας, ἀπὸ τοῦ ῥυπαρὰ κρέα ἐν τῇ ἐγκλείστρᾳ φαγεῖν, περισυρέντα ἐν τῷ ἐδάφει, διὰ τὸ τινὰς προσδεσμεῖν τὰ κρέα ἐν τῷ ἐγκλείστρῳ, καὶ οὕτως ποιεῖν τοὺς ἱέρακας ἐσθίειν, ἢ διὰ τὸ μὴ ἐσχηκέναι ὕδωρ ἀρκοῦν ἐν τοῖς ἐγκλείστροις· γέγραπται δὲ περὶ τούτου αὐτάρκως ἐν τῷ περὶ ἐγκλείστρας· γνωρίζεται δὲ ὁ λιθιῶν, ἀπὸ τοῦ ἀφοδεύειν μετὰ βίας, καὶ αὐτὰ δὲ τὰ ἀφοδεύματα τραχεῖα ἐστὶ καὶ διεσπαρμένα. ὄψει δὲ αὐτὸν καὶ παρακαμμύοντα τοὺς ὀφθαλμοὺς, καὶ νυστάζοντα, καὶ ἐν τῷ ἀφοδεύειν, κνώμενον τὸν δάκτυλον, καὶ στριγγίζοντα. θεραπεύεται δὲ οὕτως· ῥόδινον ἀπὸ ὀμφακίνου ἐλαίου κατασκευασθὲν λαβὼν ὡς δύο κοχλιάρια, καὶ ὠοῦ τὸ λευκὸν ἐν ἀγγείῳ βαλὼν, καὶ ἀναταράξας ἱκανῶς, ὥστε ἑνωθῆναι, ἀναπτύξας τὸν ἱέρακα, δίδου διὰ στόματος.

Ἄλλο.

Ἐμφρασσόμενος τῆς ἕδρας ὑποσκληρυνθέντος λίθου, οὐ δύναταί τι λαβεῖν, ἀλλὰ μετὰ βίας ἀπορομβίζει στριγγίζων· θεραπείαν ταύτην δίδου τοιάνδε· χρυσίδιον λαβὼν, ἢ τὸ ἀῤῥενικὸν σχιστὸν, καὶ

Q

λειώσας καλῶς, καὶ μετὰ μέλιτος ἀναλαβὼν, δὸς τῷ ἱέρακι. καὶ χελώνην δὲ ποταμίαν, δίδου πρὸς θοίνην· δεδοκίμασται γάρ.

## Ἄλλο ἄριστον.

Κοκκὶν χαλβάνην, κοχλιάρια * ἕψημα, καὶ βούτυρον ἄπαστον ὡσεὶ κοκκία τρία, ἀρίστως τὸν λίθον λύουσιν. λιθιῶντος ἱέρακος οἰδοῦσιν οἱ ὀφθαλμοὶ, καὶ ὡς νεφέλην ποιοῦσι, καὶ φυσᾷ διὰ τῶν ῥινῶν, ὥσπερ ἐπὶ τῶν ἐστηθισμένων ἱεράκων. καὶ τοὺς μὲν ὀφθαλμοὺς πυριᾶν μετὰ βετονίκης βοτάνης, καὶ ὕδατος ὀμβρίου· τῷ δὲ ἱέρακι δίδου φαγεῖν σκυλάκιον γαλαθηνὸν, ἔτι τυφλὸν ὂν, μέχρι τριῶν ἢ τεσσάρων ἡμερῶν, πρὸς τὸ καταῤῥῖψαι τὴν κοιλίαν αὐτοῦ· εἶθ' οὕτως δίδου ἀλόην καθαρὰν, κέρατος ἑνὸς τὸ μέγεθος παρὰ μίαν ἡμέραν· εἰ δ' ἐπιμένῃ καὶ οὐ διαλυθῇ, καῦσον αὐτὸν μετὰ κλήματος ἀμπέλου μέσον τῆς κεφαλῆς, μεταξὺ τῶν δύο ὀφθαλμῶν, εἰς τὸ κοίλωμα, ἕως ἂν ἴδῃς τὰ βλέφαρα τῶν ὀφθαλμῶν φρίσσοντα· εἶτα ῥοδίνῳ ἐλαίῳ χρῖσον τὸν μικρὸν δάκτυλον τῆς χειρὸς, καὶ ὑπόβαλε εἰς τὴν *

τοῦ ζώου εὐφυῶς, διαλύων τὸν λίθον καὶ θεραπευθήσεται.

## Ὅταν οἱ ὀφθαλμοὶ τοῦ ἱέρακος δακρύοισιν.

Ἐπωαζούσης ὄρνιθος τὰς λεκίδας τείψας καὶ ἀκαπίδας, ἤγουν κουβαείδας, φρίξας καὶ τείψας, καὶ * νίψας, εἶτα σκινοvοσάπωνον, καὶ μέλι ἄκαπνον, καὶ βούτυρον ἄναλον, καὶ ἔλαιον ὅμοιον, καὶ ἀφρόνιζον, τοῖς εἰρημένοις μίξας, καὶ ἀναφυράσας ἐπιβάλλων, καὶ ὕδωρ θερμὸν ὀλίγον, ἕψου τὸ κρέας, καὶ δίδου ἐσθίειν τῷ ἱέρακι.

Ἄλλο.

*Γίνεται δὲ λιθίωσις ἐπὶ πολὺ, ἀπὸ αἰγείου κρέατος λιπαροῦ· φέρε δὲ αὐτὸν εἰς ὕδωρ, καὶ ἔκλυε τὴν λιθίωσιν· καὶ ἐὰν ἀφοδεύσας πόρρω ῥίψῃ τὴν κόπρον, καὶ οἷον κέγχρια σκορπίσῃ, δίδου αὐτῷ ἅλας καππαδοκικὸν τῷ προειρημένῳ ξέστῳ, καὶ δαφνέλαιον· ἐπίχριε τὰς ῥίνας αὐτοῦ, καὶ ἵστα εἰς ἥλιον.

Ἄλλο.

Κλήματα ἀμπέλου καύσας ἐν καθαρῷ τόπῳ, καὶ τέφραν ποιήσας, βάλε εἰς ποτήριον ὑέ-

λινον καὶ ὕδωρ, καὶ ποίησον στάκτην· καὶ ἐκ τούτου τοῦ ὕδατος λαβὼν κοχλιάριον, καὶ ἐλαίου, καὶ ῥοδίνου τὸ ἴσον, δίδου μετὰ κρέατος τῷ ἱέρακι.

## Εἰς πάσχοντα ψύας.

ΕΙ συμβῆ ἀπὸ τοῦ κακῶς βαστάζεσθαι τὰς ψύας ἀλγῆσαι, βάλλων οἶνον καλὸν εἰς χύτραν, ζέσον, καὶ ἐπάνω κράτησον τὸ ὄρνεον καλῶς· ἵνα ὁ ἀτμὸς τοῦ οἴνου ἐπὶ τῶν μηρούς, καὶ τὰς ψύας αὐτοῦ ἀνέλθῃ· κίνει δὲ τὴν χύτραν, ἕως οὗ καταψυχθῇ. εἶτα λαβὼν ἐκ τοῦ οἴνου μετὰ ἀσσιτίου ἄνωθεν, ὑπόβρεξον τὸ ζῶον μετὰ χόρτου ὑποστρωννύς.

## Εἰ ψῦχος πάσχει, καὶ χαλᾷ τὰ πτερά.

ΒΟτάνην τὴν καλουμένην εὑρίσκων, ἤγουν ἀλθαίαν, ἑψήσας μεθ' ὕδατος, ἔα χλιανθῆναι τὸ ἑψηθὲν ὕδωρ, καὶ οὕτως καταντλει τὰς ψύας τοῦ ἱέρακος· πρότερον χλιαρῷ ὕδατι καταντλείσθω, καὶ δεσμείσθω ἐπ' ἐδάφοις, καὶ ὑποστρωννύσθω χόρτῳ, διὰ τὸ ἀναπαύσασθαι αὐτόν.

## Αλλο.

Εἰς βαλανεῖον εἰσαγέτω αὐτὸν, καὶ ἐν τῇ

θέρμη κρατείτω εἰς τὴν ἔμβασιν, καὶ μὴ βρεχέτω, ἀλλὰ δονείτω τὸ θερμὸν, ἵνα ὑπὸ τοῦ ἀτμοῦ θερμαίνηται. προσέχειν μέντοι, ἵνα μὴ ἀποκαταβῇ τῆς χειρὸς, καὶ κινδυνεύσῃ· εἶτα ἐξαγαγὼν αὐτὸν καθισάτω ἐπὶ ὀλίγην ὥραν, περισκέπων αὐτὸν ἐν μαγειρείῳ. ἀφοδεύσει δὲ αἷμα μετὰ τρίτην ἡμέραν.

Ἄλλο.

Συμφύτου μέρη τρία δίδου τῷ ἱέρακι μετὰ κρέως, καὶ εἰ οὐδὲν ὠφεληθῇ, ἐλαφικὴν βοτάνην μίξας συμφύτῳ, δὸς αὐτῷ τρία μέρη, καὶ ἀποκαταστήσεις ὑγιῆ.

Εἰς ψώραν. * οὐ μικρὰ τῇ καλῇ καὶ σωζόφῳ ὑγείᾳ τοῦ ἱέρακος.

Ἡ κνησμώδης καὶ ψωρώδης ἐπιγινομένη διάθεσις, αὐτόν τε τοῖς ὄνυξι καὶ τῷ ῥάμφει καταναγκάζουσα ὡς πολεμίῳ χρῆσθαι· σὺ δὲ πλύξας αὐτὸν σαβάνῳ τοὺς τόπους ἔκθλιψον, ἕως οὗ αἱμαχθῶσιν· εἶτα χυλὸν κωνείου βοτάνης ἐπίχριε μέχρι τριῶν ἡμερῶν· εἶθ' οὕτως ὄξει δριμυτάτῳ ἀπόπλυνε· εἶτα λίβανον ἄρρενα λαβὼν, καὶ μετὰ ὄξους ἀποβρέξας,

καὶ λειώσας, κατάχρισον τοὺς ψωριάσαντας τόπους, κατέχων τὸν ἱέρακα, ἕως οὗ ξηρανθῇ τὸ ἀλειφθέν.

Ἄλλο.

Σαπώνιν, ἀφρόνιτρον, τὰ ἴσα μίξας ὄξει δριμυτάτῳ, ἄλειφε τὸν ἱέρακα, προθερμαίνας αὐτὸν ἐν βαλανείῳ, ἢ ἐν ἡλίῳ· καὶ τῇ ἐπαύριον ἀπόπλυνον μετὰ ὕδατος γλυκέος θερμοῦ, καὶ εὐθέως ἰαθήσεται.

Ἄλλο.

Ὑδράργυρος μετὰ σιέλου λειωθεὶς· ἄλειφε τὸν ἱέρακα.

Ἄλλο.

Ἄσφαλτον μετὰ ἐλαίου παλαιοῦ καὶ ὄξους ἕψησας ἕως ἡμίσεως, ὑπάλειφε θερμῶς τὸ ζῶον.

Εἰς λειχῆνας.

Νίτρον ἀλεξανδρινὸν λειώσας λεπτὸν πάνυ μετὰ ὄξους δριμυτάτου. χρίε τὸν λειχηνιάσαντα τόπον.

Εἰς φθεῖρας ἱέρακος.

Φθεῖρες γίνονται μὲν ἀεὶ ἀπὸ κακοχυμίας τῶν κρεῶν, καὶ ἐξ ἀπεψίας τοῦ ζώου· ὅταν

ὁ θηρατὴς ἀσκόπως καὶ ἀφελῶς, ἀπέπλῳ τυγχάνοντι τῷ ἱέρακι, ἐπιβάλλει ἄλλην τινὰ ζεφλὴν, μήπω τῆς ἑτέρας πεφθείσης· γνωρίζεται δὲ ῥᾷστα· περιθέουσι τοὺς ὀφθαλμοὺς, καὶ τὰ ἄκρα τῶν ὀφθαλμῶν, καὶ περιίπτανται εἰς τὸν φέροντα αὐτὸν ἄνδρα· θεραπεύσεις δὲ οὕτως. σανδαράχην μετὰ βουτύρου, ἢ κρέως ἐλαίῳ περιχείσας, δίδου αὐτῷ φαγεῖν, ἢ σαπώνιν χλιαρῷ ὕδατι λῃυμένον· χεῖσον οὖν αὐτὸ καθαρῶς ἐπιτηρήσας ἀέρα, καὶ θεραπεύσεις· καὶ χιτὼν δὲ καθαρὸς περιδυθεὶς τῷ ἱέρακι εἰς ἥλιον θερμὸν ἀνιμᾶται αὐτοῖς.

Ἄλλο.

Ἐὰν φθεῖρας ποιήσῃ ἱέραξ, οὐ λίαν ἐκ τούτου βλάπτεται, τρέφεται δὲ μᾶλλον, καὶ πρὸς θήραν ὁρμᾷ· τοῦτο δὲ συμβαίνει αὐτῷ, ἐκ τοῦ ἔπιστα ἵστασθαι ὀρνιθίων, ἢ ἐκ λιμοῦ· καπνῷ μέντοι μὴ προσεγγιζέτω, διὰ τὸ βλάπτεσθαι. φθεῖρας δὲ ποιεῖ, καὶ κόρυζαν, καὶ κατάρρουν, καὶ τὰ πτερὰ αὐτοῦ φρύγεται. Ἱέραξ φθειριῶν, σημεῖα ταῦτα δείκνυσι· συνεχῶς φθειρίζεται· τίλλει τὰ πτερά· τινὲς δὲ ὠφῆγεῖται, * θέρμοις δὲ ἑψήσας θέρμοις μικροῖς, καὶ πτύξας, λοῦσον αὐ-

τὸν, φροντίζων ὥστε μὴ ἐγγίζειν τῇ κεφαλῇ αὐτοῦ τὸ ζέμα· καὶ στῆσον αὐτὸν ἐν ἡλίῳ ὥραν μίαν. ἄρας δὲ αὐτὸν ἐκεῖθεν, εἰς γλυκὺ ὕδωρ λοῦσον· οἴνῳ δὲ αὐστηρῷ καταφύσησον τὰ τούτου πτερά· ἵνα μὴ καταψοφίσῃ τὸ δέρμα αὐτοῦ.

## Ἄλλο.

Ὅταν ἔχῃ φθεῖρας ἱέραξ, λαβὼν ἀπὸ κλήματος, ἢ συκῆς, ἢ ἐλαίου κονίαν, λεπτῶς κοσκινήσας, ἔμπασσε, καὶ ἐπίθες ὀθόνιον, καὶ ἐν αὐτῷ ἐκπεσοῦνται οἱ φθεῖρες. καὶ παραυτίκα θερμῆς δὲ ὄρνιθος ἡμέρου νεοσφαγοῦς μεταχωροῦσιν ἐν αὐτῇ· ἐν δὲ μή, ἀποθανεῖται.

## Εἰς φρίκην τοῦ ἱέρακος.

Συμβαίνει τῷ ἱέρακι φρίκη, καὶ ἀπὸ φθειρῶν, καὶ ἐξ ἄλλων πολλῶν νοσημάτων· συμφέρει δὲ αὐτῷ τὸ δελφάκινον κρέας. τὸ γὰρ ὀρνίθιον θερμὸν ὄν, ἐπὶ πολὺ καταξηραίνει αὐτὸν, καὶ τῇ ἰσχνότητι φθεῖρας ἐμποιεῖ· καὶ τὸ προβάτος τοῦτο ποιεῖ. κορώνης δὲ κρέας, ἢ κόρακος, μηδὲ τὸ σύνολον. εἰσὶ γὰρ ἁλμυρά, καὶ πάνυ βλαβερὰ τῷ φθειρῶντι ἱέρακι.

Εἰς

## Εἰς φελκιῶντα.

ΟΤΕ φελκιᾷ ὁ ἱέραξ, τότε σώματι συμπίπτει, καὶ συχνὸν καὶ νοσῶδες βλέπει· ὑπὸ τοῦ πάθους συνεχόμενος, ἀφοδεύει τε διεφθαρμένα, καὶ φθοράν τινα δυσώδη ἀποτελεῖ· ἐὰν οὖν μὴ προλάβωμεν τὸ πάθος, ἀπολεῖται τὸ ὄρνεον. οὕτως οὖν αὐτὸν ἰασώμεθα· συμφύτου κλώνακας σὺν ταῖς ῥίζαις, καὶ ῥέον ποντικὸν, τὰ ἀμφότερα μίξας, ἕψει μετὰ ὕδατος, ἕως ἂν ἀποτελειωθῇ, καὶ εἰς τὸ ἀπολειφθὲν τέταρτον μέρος τοῦ ἀφεψήματος, ῥέον ποντικὸν τετριμμένον ἐπιχυμάτιζε, ἐπιβαλὼν τὸν ἱέρακα μέχρι τελείας ἰάσεως αὐτοῦ· μετὰ δὲ τὸν ἐγχυματισμὸν, τρέφε περιστερᾷ.

## Εἰς ἀπόρροιαν πτερῶν.

ΕΥχρηστότατον μάλιστα τῷ ἱέρακι ἡ τῶν πτερῶν διακόσμησις, καὶ πρὸς τὴν αὐτοῦ προσήκουσαν ἀρετὴν οὐχ ἥκιστα ἐπιτηδειότατον· ἐὰν οὖν συμφορά τις γένηται, ὥστε αὐτὸν πτερορρεῖν, καὶ τοῦ συμφύτου κόσμου ἀπογυμνοῦσθαι, λαβὼν δᾷδας λιπαρὰς, καὶ βάτου ῥίζας, καὶ πλατάνου

ἀνὰ δρακαμίαν, καὶ βαλὼν αὐτὰ ἐν χύτρᾳ, ἕψε μετὰ ὄξοις δριμυτάτου, ἕως ἀποτελεσθῇ, καὶ ἀνελόμενος, ἔμβρεχε τούτῳ τὰ πτερὰ τοῦ ἱέρακος, καὶ τοῦ πτερορρέειν παύσεται.

Εἰς σῆτας τοὺς ἐν τοῖς πτεροῖς τοῦ ἱέρακος.

Εἴωθεν * ἔστιν ὅτε τὰ πτερὰ τοῦ ἱέρακος ὑπό τινος κακοχυμίας σῆτας ποιεῖν, καὶ τὸ λεπτὸν καὶ ἀκραφνὲς αὐτῶν ἀφανίζειν, κατεσθίοντας αὐτοῖς· ἐὰν οὖν ἴδῃς γυμνούμενον αὐτὸν τῶν πτερῶν, θεραπεύσεις οὕτως· λαβὼν τὸν ἱέρακα ἐν τῷ κόλπῳ δεδεμένον τοὺς πόδας, σχίσον ὀρθὸν ἠρέμα τὸ πτερόν, καθ᾽ ὃ μέρος βεβρῶσθαι δοκεῖ, καὶ κάλαμον ξηρὸν διασχίσας, καὶ τὸν διελκόμενον ἔνδοθεν καθ᾽ ἑκάστην κοτύλην ὑμένα λευκὸν στρογγύλον, λαβὼν ῥάβδον λευκήν, ὥσπερ γραφεῖον γλυφομένην, ἔμβαλε εἰς τὸ διάσχισμα τοῦ πτεροῦ ἐκείνου, καὶ τὰ ἄνωθεν μέρη, καὶ τὰ κάτω τοῦ πτεροῦ ἀποφράττων, ὡς ἂν καλῶς ἔχειν δοκῇ, θεραπεῦσαι τὰ πτερὰ ἀποσκεδάσας τοὺς σῆτας.

Ἄλλο.

Κρηπίδων παλαιῶν ἱλάελα τὰ καλούμενα

λειπόκενζα, ἀποβρέξας εἰς ὄξος ἄνυδρον, ἄλειφε τὰ πτερὰ τοῦ ἱέρακος.

Εἰς τρώκτην σκώληκα φυόμενον τοῖς πτεροῖς αὐτοῦ.

Τρώκτας ἔχων ἱέραξ ἐν τοῖς πτεροῖς, σημεῖον δείκνυσι τοιοῦτον· θλίβων τὰ πτερὰ αἱμάσσει· πλοῦμον δὲ εὑρήσεις ἔχοντα περὶ τὰς ῥίνας αὐτοῦ. λασάρου οὖν καὶ σανδαράχης τὸ ἴσον κόψας εἰς λεπτὸν ἐπίπασσε, τὰ πτερὰ οἴνῳ προσφυσῶν.

Πῶς διαβιβρώσκονται τὰ πτερὰ τῶν ἱεράκων, καὶ πῶς θεραπεύονται.

Διαβιβρώσκονται πολλάκις τὰ πτερὰ, ὑπό τινος βλαβερᾶς κακοχυμίας· χρὴ οὖν θεραπεύειν οὕτως· νίτρον γαλλικόν, καὶ κόρειδας τὰς μήπω ἀποπεσούσας τῆς κλίνης, μετὰ ὄξους δριμυτάτου τρίψας, καὶ ποιήσας ἔμπλαστρον, καὶ διανύξας αὐτὰ ἔνθα ἂν φαίνηται τὴν ἀρχὴν ἔχειν διαβιβρώσκεσθαι, χρῖε καὶ θεραπεύσεις.

### Ἐὰν ἐπιπολὺ ἱέραξ ἐπιρρυαθῇ, ἢ ποιῇ φυσαλίδας ἐν ταῖς πίναις.

ΤΑύτας ἀνάσχιζε, καὶ τὰς γεμούσας πίνας τρύπα. καὶ μετὰ οἴνου παλαιοῦ ἀπόπλυνε τὸν τόπον, καὶ λειώσας κλήματα ἀμπέλου κεκαυμένα μετὰ χολῆς βοείας, ἐπίχεε τὰς γεμούσας πίνας.

### Πρὸς τὸν τὰ ἴδια πτερὰ τρώγοντα.

ΕΑΝ ἱέραξ τρώγῃ ἴδια πτερά, καὶ μὴ ἔχων φθεῖρας, φθειρίζεται· πτύξας ἔρευσον τοῖς καυλίσκοις τῆς οὐρᾶς, καὶ τὰ πτίλα· καὶ εὑρήσεις μικρά τινα μέλανα ἔσω εἰς τὰς ῥίζας τῶν πτερῶν· ἅ τινα καὶ κατακεντήσας βελόνῃ προσφύσατα οἴνῳ παλαιῷ, καὶ ἐπάνω ἐπίπασσε ῥοιῶν φλοιοῖς τετριμμένοις.

### Πρὸς θραυσίπτερον ἱέρακα.

ΤΟΥΣ ἀπὸ φύσεως μὴ ἔχοντας τὰ ἐν θαλῇ πτερά, ἀλλὰ θραύοντας· θεραπεύσεις οὕτως· ὕδατι γλυκεῖ καὶ θερμῷ ἐπισυχνῶς τοὺς ἐλατῆρας αὐτοῦ διάχεε.

Εἰς διαλειφόμενον.

Ἱέραξ ὅταν μέλλῃ διαλείφεσθαι, χρίε αὐτοῦ τὴν καλουμένην ἀλειπταρέαν λασάρῳ· ἀλειπταρέα δέ ἐστι, τὸ ἐπάνω τῶν ὀπισθίων τὸ ἐξιστάμενον, ὅπερ τινὲς καλοῦσι κριθήν.

Εἰς αὐρελατοῦντα ἱέρακα.

Τίλλειν αὐτῶν τὰς μασχάλας χρή, καὶ βελόνῃ χαλκείᾳ κατακεντᾶν αὐτάς, καὶ οὐδέποτε αὐρελατήσῃ.

Πρὸς ἀποβάλλοντα τὰ πτερά.

Δάφνινον ἔλαιον, ἢ καρύινον· ταῖς ὀπαῖς χρίε, ὅθεν ῥέουσι τὰ πτερά.

Ἄλλο.

Γάλακτος αἰγείου μέρος λαβὼν ἐν τῷ στόματι, προσφύσησον τοὺς τόπους, ὅπου ἐξέβησαν πτερά.

Εἰς ἀπόρροιαν πτερῶν.

Γλίχωνος γράμμ. ϛ'. κρόκου γράμμ. ε'· σανδαράχης γράμμ. γ'. ὄξυ λύτρ. α'. ταῦ-

τα ἔνθα μετὰ ὄξους ἀρκοῦντος, καὶ ἔα καταψυχθῆναι· εἶτα ὀφθαλμοὺς σφόγγῳ διάχριε τοῦ ἱέρακος δεύτερον τῆς ἡμέρας.

### Εἰς ῥευματιζόμενον, καὶ ἀπὸ τοῦ ῥεύματος ῥίπτοντα τὰ πτερά.

ΕΑΝ ῥευματισθῇ ἱέραξ τοὺς ἀγκῶνας, ῥίπτει αὐτοῦ τοὺς * ἐλάτας· θεραπεύεται δὲ οὕτως· ἐρεύνησον καὶ βλέπε τὰ φλεβία τὰ προσκείμενα ταῖς πτέρυξι, καὶ φλεβοτόμει αὐτὰ μικρῷ φλεβοτόμῳ, καὶ μετὰ τὸ ῥεῦσαι βραχὺ τοῦ αἵματος, ὄξει ψυχρῷ καταντλεῖ τὰς πτέρυγας, ὥστε τυφθῆναι τὸν τόπον, καὶ τοῦ λοιποῦ οὐκέτι ῥευματισθήσεται, οὐδὲ ῥεύσουσιν αὐτοῦ τὰ πτερά.

### Εἰς τὸν ἀποβάλλοντα τοὺς ἐλάτας.

ΟΤαν ἴδῃς ὅτι ἀγαγεῖ τοὺς ἐλατῆρας αὐτοῦ τὸ ζῶον καὶ ἀναπληρώσει, λαβὼν σανδαράχην, καὶ λιβάνου τὸ ἴσον, κεκομμένα, ὄξει φυράσας, διάχριε τοὺς ἐλατῆρας, ὡς πρὸς τὰς ῥίνας αὐτῶν. καὶ στηρίζονται.

## Θεραπεία εἰς κλασθέντα πτερά.

ΕΝ τῷ μάχεσθαι πρὸς οἷον δήποτε ὄρνεον πολλάκις ὁ ἱέραξ κατακλᾶν εἴωθε τὰ πτερά, ἑλκόμενος περὶ τὴν γῆν, ἐν τῷ κατέχειν τὸν ἀντίπαλον ὄρνιν· πολλάκις δὲ καὶ ἐφάπτεται τοῦ ξύλου ἐν τῷ ἀνίπτασθαι, καὶ πάλιν τὰ πτερὰ κατακλᾷ· ἐμβραδύνοντος δὲ τοῦ θηρατοῦ, τύπτων θήγει τὰς πτέρυγας. εἴωθε γὰρ ὑπὸ φυσικῆς φρονήσεως σεσοφισμένος σκέπειν τὴν κεφαλὴν, ὅπερ ἐστὶν αὐτῷ ζωῆς καιριώτατον, καὶ κατὰ τῶν λαγώνων αἰκίζεσθαι. ἐὰν τοῦτο συμβῇ, τῷδε τῷ τρόπῳ θεραπεύων, οὐκ ἐμποδισθήσῃ πρὸς τὴν θήραν· ἱέρακος τεθνηκότος ἔχων τὰ ἄκρα τῶν πτερῶν καὶ τῆς οὐρᾶς, ἐπιστήμων σὺ καὶ θεραπείας ἀνὴρ, ἐπειδὰν ἐξ ἑνὸς τῶν ἀκρέων κλασθῇ πτερὸν, τὸ μὲν δεξιὸν ἀπὸ τοῦ δεξιοῦ, τὸ δὲ εὐώνυμον ἀπὸ τοῦ εὐωνύμου. τὸ δὲ τῆς οὐρᾶς ἀπὸ τῆς οὐρᾶς τοῦ τεθνηκότος καταριθμῶν ὁμοίως· οἷον ἀπὸ πτέρυγος ἐστὶν τῶν λεγομένων ἐλατήρων πέμπτον κλασθέν, ἀπὸ τοῦ τεθνεῶτος τὸ ὅμοιον λήψῃ, καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως ποιῶν, κόψας τὸ κεκλασμέ-

νον πτερὸν, μὴ πάνυ πλησίον τῆς σαρκὸς, πρὸς τὸ ἐμβληθῆναι τὸ τοῦ τεθνεῶτος· εἶτα ὀξύνεις τὸ ἐμβαλλόμενον, καὶ ἀριθμῶν τὸ ἐπιτετμημένον ἐξίσου ἐνθήσεις· καὶ δῆσον λίνῳ κατὰ μέρος, διαπείρας μετὰ τὴν εἰσβολὴν τὰ δύο πτερὰ διαμπάξ· εἶτα ἀπὸ πτεροῦ ἄλλον ποίησον ἧλον, διαπείρας κατὰ μέσον ἑκάτερα τὰ πτερά· ἔσω δὲ τὸ λῖνον μέγαν, ᾧ συνδεσμεῖς τὰ δύο πτερὰ, μετὰ τοῦ ἥλου τοῦ συνέχοντος αὐτά. τοῦτο δὲ ποιήσεις ἐπὶ πτεροῦ τῆς οὐρᾶς κλασθείσης. ἐπὶ γὰρ τῶν ἀπὸ τῆς πτέρυγος κεκλασμένων πτερῶν, ποιήσεις ἕτερον, λαβὼν τὸ πτερὸν κατὰ τὸν εἰρημένον ἀριθμὸν τοῦ τεθνεῶτος, καὶ πρὸς μέτρον κόψον ἴσον, ὥστε μήτε λείπειν, μήτε περισσεύειν τῷ φυσικῷ μήκει, καὶ βελόνῃ σιδηρᾷ ἀποκεκαυμένῃ ἠρέμα, καὶ ἐχούσῃ λῖνον, ἐγχάραξον πρὸς τὰ μὴ ὀρθωθέντα, ἀλλ' ἀμφότερα διεστῶτα τῶν πτερῶν· εἶτα προσαρμόσας, ὡς τὴν ἀποτομὴν μὴ φαίνεσθαι. συνημμένων δὲ αὐτῶν, δέσμει ἑκάτερα τὰ μέρη τῆς βελόνης, τουτέστι τὰς ἀρχὰς τῶν κεκολλημένων πτερῶν, λίνῳ· καὶ βρέξον αὐτὰ παραχρῆμα, ἐὰν ἐπὶ τὴν θήραν ἐπείγῃ· εἰ δὲ μὴ, λοῦε αὐτὸν,

ὥστε

ὥστε διαβραχεῖσαν τὴν βελόνην, ἰῶσαι, καὶ ὥσπερ δεσμὸν ἐμποιῆσαι τοῖς πτεροῖς, τὸν ἐκ τοῦ ὕδατος ἰὸν ἐπιγινόμενον. τούτου γὰρ οὕτως γινομένου, οὐδὲν ἐλλείψει πρὸς τὴν τοῦ ἱέρακος πτῆσιν, μετὰ τὴν πρόσθεσιν αὐτοῦ. τινὲς δὲ τὴν βελόνην οὔρῳ ἀνθρωπίνῳ παλαιῷ προβρέχουσιν, καὶ οὕτως διαπείρουσιν.

### Εἰς κλάσμα πίνης.

ΛΑβὼν πτελέας φλοιὸν, καὶ μαλάχης ἀγρίας ῥίζαν, ἕψησον σὺν οἴνῳ παλαιῷ, καὶ τῷ ζέματι κατάντλει, καὶ θεραπεύσεις.

### Ἄλλο.

Σμύρναν ἀληθινὴν λαβὼν, λείου ἐν ἰγδίῳ· καὶ ὠοῦ τὸ πυῤῥὸν λαβὼν, αὐτὰ ποίει τράκτωμα, καὶ ἐπίθει ἐπάνω στυπεῖον μετὰ πετάλων μικρῶν, καὶ δεσμεύων εὐφυῶς ἔχε παραφυλάττων τὸ ζῶον, καὶ θεραπευθήσεται.

### Πῶς δεῖ ἐμβάλλειν ἐλάτην εἰς ἱέρακα.

ΤΩΝ συνεργούντων τῇ πτήσει τῶν ἄλλων μάλιστα πτερῶν, οὓς ἐλάτας παρωνύμως καλοῦσι, διὰ τὸ δι' αὐτῶν ἐλαύνεσθαι, καὶ κώ-

της δίκην διατέμνεσθαι τὸ ἀέριον πέλαγος. τούτων ἑνὸς ἔκ τινος περιπετείας ἀποθραυσθέντος, ἐγκεντρισμὸν ἡ τέχνη ἐμηχανήσατο, καὶ πόρον ἐν ἀπόροις εὗρε, παρὰ γεωργῶν ἴσως τοῦτον δανεισαμένη, οἱ πρέμνον ἀλλότριον τῷ ἐμμεδαπῷ στελέχει ἐντέχνως ἐντιθέμενοι, τὴν ἐκείνου ποιότητα, τῇ ἑαυτῶν μετοχέτευσαν. οὐ φθονήσομεν οὖν καὶ τὸν τοῖον δὲ τρόπον, ὅπως γενήσεται· λαβὼν τὸν μέλλοντα ἀντιβάλλεσθαι ἐλάτην, ἀνάξυσον αὐτὸν ἐκ τοῦ ἑνὸς μέρους, ὥστε δύνασθαι αὐτὸν κλεῖσθαι, καὶ γίνεσθαι αὐτὸν λεπτότερον, καὶ βάλλων ἐν θερμῷ ὕδατι, ἔα ἀπαλύνεσθαι· ἔπειτα πλύξας εὐφυῶς τὸν ἱέρακα, τέμε αὐτοῦ προσεχῶς τοῦ κλασθέντος πτεροῦ τὴν πίναν, καὶ καταμετρήσας ἀκριβῶς, καὶ ἐξισώσας τοῖς ἄλλοις ἐλάταις, ὥστε μήτε περιττεύειν, μήτε ἐνδεῖν· τρύπα κατὰ μέσον λεπτῷ σουβλίῳ· ὁμοίως θεὶς σανίδα, καὶ διελάσας εἰς τὴν ὀπὴν τοῦ πτεροῦ πέρδικος βέργα ἀποσφίγγου καλῶς· καὶ μετὰ ταῦτα τέμε αὐτοῦ τὰ περιττὰ τοῦ βεργίου ἐξ ἀμφοτέρων τῶν μερῶν, καὶ πάλιν ἔσωθεν τοῦ περονίου ἄλλο περίδεσμει * μιτόλινον, καὶ οὕτως ἀναλάμβανε τὸν ἱέρακα τῶν

κόλπων· τοῦ λοιποῦ γὰρ οὐκ ἐμποδιασθήσεται ἐν τῇ πτήσει.

## Εἰς σχίσμα ἱέρακος.

ΟΥδὲ τὸ τῶν πλειόνων γένος ἀπόλεμον ἡ φύσις παρήγαγεν· ἀλλὰ καὶ λίαν τῇ τῶν ὀνύχων ἀκμῇ, καὶ τῇ τοῦ ῥάμφους καθώπλισε προσβολῇ· ὥστε καὶ πρὸς θήραν ἔχειν εὐκόλως, καὶ πρὸς ἄμυναν ἔχειν εὐχερῶς. ἐὰν οὖν τι τῶν κατὰ μέγεθος, ἢ κατ᾽ ἰσχὺν πλεονεκτούντων τινῶν ἀμυνόμενον, καί τι γοῦν ἢ τὸν περὶ ψυχῆς θέων ἀγῶνα, ἢ ὄνυξιν ἀμύξει, εἰ τῷ ῥάμφει, ἢ τῷ ποδὶ τὸν θηρατικὸν ἱέρακα πλήξει, καὶ πρὸς εὐθυμίαν τὴν ἀθυμίαν σοι περιστρέψει· στέαρ χοίρειον παλαιὸν λαβὼν, καὶ μετὰ κληματίνων τέφρας ἀναδεύσας, βάλε αὐτὸ εἰς τὴν πληγὴν, προκαθάρας αὐτὰ καλῶς· εἶτα λαβὼν βελόνην πάνυ λεπτὴν εὐφυῶς, ῥάψον· ἵνα μή τις ἄλλη ῥυπαρία ἐμπέσῃ εἰς τὴν πληγὴν, καὶ ἰαθήσεται.

## Ἄλλο.

Κράμβης καυλὸν καύσας, καὶ χάρτην ὁμοίως, καὶ τὴν ἐξ αὐτῶν κόνιν ἀνελόμενος, καὶ μετὰ στέατος ὀρνίθων ἀναζυμώσας, ἐπίθει τῇ πληγῇ.

## Ἄλλο.

Ἐὰν ὑπὸ γεράνου πληγῇ, καὶ μάλιστα περὶ τὸ στῆθος, ἢ τὰ σαρκώδη τοῦ σώματος, οὕτως θεραπεύσεις· σύμφυτον περιφῦτον περιπάσας τὸν τόπον, ῥάπτε αὐτὸν, τριγώνοις βελονίοις χρησάμενος, καὶ ῥάμματι ἐξ ἐρέου, καὶ ἔξωθεν τῆς ῥαφῆς ἐπίπασσε σύμφυτον· ἐὰν δὲ τὸ ῥάμμα διασπασθῇ, καὶ μὴ δύναται ῥάψαι αὐτὸ, τῷ πάντων εὐχερεστέρῳ χρῆσαι βοηθήματι· λαβὼν χάρτην γεγραμμένον, εἴτε καὶ ἄγραφον, καῦσον ἐπιμελῶς, καὶ ἀναμίξας ἐλαίῳ τὴν σποδὸν, τὸν τόπον, ἔνθα ἐστὶν ἡ πληγὴ, ἄλειφε· εἰ δὲ αἱμοῤῥοῇ ὁ ἱέραξ ἀπὸ τῆς πληγῆς, χαλκῖτιν λαβὼν, περίπασσε εἰς τὸ τραῦμα, καὶ ὠφεληθήσεται. ἐὰν δὲ περὶ ὀστέον, ἢ νευρώδη τόπον πληγῇ, λίβανον ἄῤῥενα κόψας ἔμπασσε, ἢ τὸ λεγόμενον κεφαλικὸν, ᾧ κέχρηνται ἐπὶ τοῖς ἀνθρώποις, λαβὼν ἐντίθει τῷ τόπῳ, καὶ ταχέως θεραπεύσεις· ἡ δὲ σύνθεσις τοῦ κεφαλικοῦ ἐστὶν αὕτη. ἐλαίου γλυκέος οὐγ. δ'. ἀσφάλτου, κηροῦ πλιτίας, ξηρᾶς πίσσης ἀνὰ οὐγ. ς'. λιθαργύρου γρ. β'. ψιμμυθίου γρ. δ' ς''. λιβάνου ἀλόης, σμύρνης, ἀνὰ ςΓ. δ'. ὀπίου, μαν-

δραγόρου, χυλοῦ, τῶν μήλων, ἀνὰ ϛΓ. δ΄. συπτηρίας σχιστῆς, χαλκάνθης, χαλκίτεως, κρόκου, ἀνὰ ϛΓ. δ΄. ὄξους δριμυτάτου τὸ ἀρκοῦν. Τὰ τηκτὰ τήξας ἐπίπασσε τοῖς ξηροῖς κεκομμένοις καὶ σεσησμένοις, ἀναμαλάξας ἀπόθου· ἐπὶ δὲ τῆς χρείας μετὰ ῥοδίνου ἀναλύων, ἐπάλειφε τὴν πληγήν.

## Εἰς σχίσμα ἱέρακος.

ΕΑΝ ἀπειρότερος, ἢ ἀφυλακτότερος, ἢ ἀπληστότερος προσελθὼν ἱέραξ γεράνῳ λακισθεὶς, καὶ ὑπὸ λαγωὸς τὸ αὐτὸ πάθῃ, καὶ ῥαγῇ τὸ δέρμα αὐτοῦ, θεραπεύσεις οὕτως· λαβὼν αὐτὸν παραχρῆμα, διάῤῥαψον τὴν πληγὴν βελόνῃ λεπτῇ, ἐχούσῃ λινὸν, καὶ συνάγαγε τὸ διεστὸς τοῦ δέρματος· ἔπειτα λαβὼν κόνιν ἀπὸ φλοιοῦ δρυὸς κεκαυμένην, καὶ φυράσας μετ' ἐλαίου γλυκέος, κατάπασσε, καὶ τὴν τῶν περιστερῶν δὲ κόπρον ἀναμεμιγμένην ἐλαίῳ καὶ οἴνῳ, ὡς ἔμπλαστρον ποιήσας, καὶ θεὶς ἐπὶ τῇ πληγῇ, οὐκ ἂν ἁμάρτοις ὡς καλλίστῃ θεραπείᾳ χρώμενος.

Ἄλλο.

Ῥάπτε τὸ διαιρεθὲν· εἶτα σύμφυτον μετὰ σαρκοκόλλης μίξας ἐπίπασσε, καὶ καταστήσεις ὀλίγαις ἡμέραις τὸν ὄρνιν ὑγιᾶ.

Ἄλλο.

Σαρκοκόλλης εὖ μαλάκτου τετριμμένῳ αἵματι ὄρνιθος κατοικίδος νεοσφαγοῦς ἀναλάμβανε καὶ ἐπίπασσε, καὶ παραχρῆμα θεραπεύσεις.

Εἰς πληγὴν αὐθωρὸν ἢ σύρεγμα.

Εἰ συμβαίνῃ ἢ εἰς κορώνην, ἢ εἰς πέρδικα, ἢ ἄλλως πῶς τυχηρῶς, ἢ παρὰ τὴν αἰτίαν τοῦ ἱερακοτρόφου συῤῥαγῆναι ἱέρακα, θεράπευε οὕτως· ῥέον ποντικὸν τρίψας μετὰ οἴνου παλαιοῦ δὸς αὐτῷ.

Εἰς δαρέντα ἱέρακα.

Ἐὰν ἱέραξ δαρῇ ὑπὸ ὀρνέου ἐν θήρᾳ, ὁ ἀπολύσας αὐτὸν ἐν αὐτῇ, ἐπάνω αὐτοῦ οὐρησάτω, καὶ εὐθέως ἐπιληθήσεται τῶν πληγῶν.

## Ἐὰν δαρῇ ἱέραξ ὑπὸ ὀρνέου, ἢ γεράνου.

ΤΟΝ ἀπὸ γεράνου, ἢ ἐξ ἄλλου τινὸς ζώου πληγῶτα ἱέρακα, ῥίπτε ἔνδοθεν τοῦ σώματος στέαρ χοίρειον, καὶ οὕτως ῥάπτε, καὶ ἐπίπαττε ῥητίνην λεπτὴν ξηρὰν, καὶ χαλκείου ξύσμα ἐκ τοῦ ὑποκάτωθεν μέρους τοῦ χαλκείου· τὸ δὲ ἀξούγγιν ῥίπτε, διὰ τὸ ἔχειν ἔσωθεν πότητα.

## Εἰς τετρωμένον ἱέρακα ἀπὸ συμπλοκῆς.

ΚΡουσθέντα αὐτὸν πλύξας κατανόησον πρὸς τὸ μὴ πληγῶτα λαθεῖν, καὶ τίλλε τὸν τόπον, ὅπου ἡ πληγή. ἡμέρου δὲ ἀμπέλου καύσας κλήματα, προσφύρασα οἴνῳ τῷ τόπῳ, καὶ ἐπίπασε.

Ἄλλο.

Ἀλόην καὶ κόπρον περιστερᾶς τὸ ἴσον κόψας καὶ σήσας, στέατι χοιρείῳ ἀναλάμβανε, καὶ ἐπιτίθει τῇ πληγῇ.

Ἄλλο.

Λίβανον καὶ ψιμμίθιν τὸ ἴσον μετὰ συμφύτου τὸ ἱκανὸν λειώσας ἐν ἰγδίῳ καὶ ἀναμιαλάξας ἐπιτίθει.

Πρὸς τοὺς ἀναχλαθέντας ὑπὸ κυνὸς ἢ ἀετοῦ.

ΠΤύξας τὸν ἱέρακα, προσφύσατε οἴνῳ καὶ ἐλαίῳ τὸν τόπον, καὶ ἐπίπασσε τὸ ξηρίον· τοῦ δὲ ξηρίου ἡ σύνθεσις αὕτη· λαβὼν δρυὸς φλοιὸν καὶ κλήματος τὸ ἴσον λειώσας, μίξον συμφύτῳ, καὶ λιβάνῳ, καὶ ἀριστολόχῳ, καὶ ῥιπίνῃ, καὶ κόπρῳ περιστερᾶς ἀγρίας, ἑκάστου τὸ ἴσον κόψας, καὶ σήσας λεπτῷ κοσκίνῳ, ἐπίπασσε ξηρόν.

Εἰς πληγὴν ἱέρακος.

ΚΟλοκύνθην ἀπ' ἐλαίου παλαιὰν λαβὼν, καῦσον. ἔπειτα λαβὼν τὴν κόνιν, ἀνάφυρε οὔρῳ ἀνθρωπίνῳ, καὶ ἐπίθες· εἰ δὲ οὐκ ἔστι τοιαύτης κολοκύνθης εὐπορία, λαβὼν ἄλλην ξηρὰν, καῦσον καὶ μετ' ἐλαίου ἀναμίξας, ἐπίθες τῇ πληγῇ τοῦ ἱέρακος.

Ἐκ ποίας αἰτίας κλάσματα γίνεται, καὶ πῶς θεραπεύεται.

ΕΝ τῇ θήρᾳ πολλάκις τῶν ἰσχυροτέρων ζώων, γεράνου δὲ λέγω, καὶ χηνὸς, καὶ λαγωοῦ,

μαχό-

μαχόμενος ὁ ἱέραξ, ἔστιν ὅτε λακτίζεται καὶ κλᾶται. ἔστιν ὅτε καὶ ἀπὸ πτέρυγος ῥαπίζεται, μὴ ἔχων τὸν πόδα ἐπὶ στιβαρᾶς βάσεως, ἢ ἐν τῷ ξύλῳ περιστραφείς· γίνονται δὲ καὶ ἄλλαι πολλαὶ αἰτίαι τούτου τοῦ πάθους, ἃς περιττὸν νῦν γράφειν διὰ πλῆθος· θεραπεύσεις δὲ οὕτως. κάλαμον ξύσας ἐμμελῶς, καὶ τὸν ἐν αὐτῷ κόνδυλον ἐξισώσας, κύκλῳ περίθες τοῦ ὄρνιθος τῷ ποδὶ, καὶ περίδησον, ὥσπερ ἔθος ἐστὶ ποιεῖν ἐπ' αὐτῶν τῶν τοιούτῳ πάθει περιπεσόντων· ψιλὸν δὲ ἀποδείξας πτερῶν τὸν πεπονθότα τόπον, μάλιστα ἐὰν περὶ τὴν μασχάλην, ἢ τὸν μηρὸν συμβαίνῃ τὸ κλάσμα· ἐὰν γὰρ ἐκβολὴν ποιήσῃ περὶ τὴν μασχάλην ὀστέον, ἀθεράπευτόν ἐστι τὸ πάθος· ἔπειτα λαβὼν ῥίζαν πτελέας, καὶ ταύτην ἐκζέσας σὺν οἴνῳ πολλῷ, ἕως οὗ γένηται χυλώδης καὶ παχεῖα, συνεχέστερον τῆς ἡμέρας τὸ πεπονθὸς μέρος ἀπαντλῶν, ποίει ἀδιαλείπτως, ἕως ἂν θεραπεύσῃς. λαβὼν βοτάνην σύγχλον καλουμένην, καὶ ζέσας τῷ ὕδατι, κατάντλει τοὺς τόπους τοῦ κλάσματος ἐπὶ ἡμέρας ἑπτὰ, καὶ θεραπεύσεις· καὶ ἐπὶ πλείονας δὲ ἡμέρας ποιεῖν τοῦτο μὴ ὀκνήσεις, ἕως οὗ θεραπεύσῃς.

## Τράκτωμα εἰς κλάσμα ποδὸς ἱέρακος.

Ὕελον ἀλεξανδρινὴν, σμύρναν ἀληθινὴν, πίσσαν, καὶ λίβανον λειοτριβήσας, καὶ ἅμα ὠοῦ τὸ λευκὸν ἀναλαβὼν ἐπίθες, καὶ σφίγξας μετὰ ἐρίου, ἀπόλυσον αὐτὸν εἰς οἴκημα· σημεῖον δὲ τοῦ καλῶς ἔχειν αὐτόν ἐστιν, ὅταν εὕρῃς τὸ βοήθημα χαῦνον. λύσας οὖν τότε τὸν πόδα, μαλάγματι χρῆσαι τῷ τῆς φοινίκης, ᾧ τινι χρῶνται οἱ ἰατρικοὶ * ὑγιεῖς· ἡ δὲ σύνθεσις αὐτοῦ ἐστὶν αὕτη· ἀμμωνιακοῦ θυμιάματος οὐγ. α΄. βδελλίου οὐγ. α΄. στύρακος οὐγ. ς΄΄. κασσείου οὐγ. ς΄΄. ἐλαίου παλαιοῦ οὐγ. ς΄. σικυώνου οὐγ. ς΄. ἰξοῦ δρυΐνου οὐγ. ας΄΄. βουτύρου οὐγ. α΄. τερβίνθου οὐγ. ς΄΄. κηροῦ οὐγ. ς΄. χαλβάνης οὐγ. ς΄΄. στέατος ταυρείου οὐγ. ς΄΄. στέατος χοιρείου οὐγ. ς΄΄. τὰ πάντα τήξας καὶ ἀναμαλάξας, χρῶ.

### Ἄλλο.

Λαβὼν κοχλιάριον ὀρνεῖον καὶ σμύρναν, καὶ κρόκον ὠοῦ λειώσας, βάλλων εἰς ἀλουτῆρα· καὶ ἐπιδήσας, ἀπόλυε τὸν ἱέρακα, εἰς οἴκημα σκοτεινὸν ὑποστρώσας αὐτῷ χόρτον.

### Ἄλλο τῆς φοινίκης.

ΛΕιώσας λιθάργυρον λύτρας γ΄. χαλκίδος οὐγγ. δ΄. ἀξούγγιν παλαιὸν ἀνάλατον, ἐκτετηγμένον λύτρ. β΄. πρῶτον ὀλίγῳ ἐλαίῳ φύρα τὴν χαλκῖτιν· εἶτα μετὰ τῆς λιθαργύρου μίξας ὅλον τὸ ἔλαιον· ἐπίχεε τὸ ἀξούγγιον ἐκτετηγμένον εἰς αὐτὸ, καὶ βάλλων ἐν κακάβῃ γεγανωμένῃ, ἕψε μαλθακῷ πυρὶ, κινῶν ἀσάθῃ φοινικικῇ· εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς, ἀναμάλαττε, καὶ χρῶ.

### Ἄλλο τράκτωμα.

ΑΜμωνιακὸν θυμίαμα, πρόπολιν, *βόλιν, μαστίχην, ῥιτίνην, κόμμι, ἀρκευθίδος κόκκοις· ἑκάστου τὸ ἴσον λαβὼν, λείου ἐν ἰγδίῳ· εἶθ' οὕτως λαβὼν ὄρνιθος κατοικίδος κόπρον, ἔμβαλε τοῖς προλειωθεῖσι, καὶ ἀναλαβόμενος τράκτωσον, καὶ συνδέσμει, ὡς ἔθος ἐστὶ τοῖς ἰατροῖς ποιεῖν.

### Ἄλλο.

Μαρμάρου μέρος ἓν, ὀστράκου μέρος ἓν, Σμύρνης μέρος ἓν, ὑελίου μέρος ἓν, λύκνου μέρος α΄. μαστίχης, πεπέρεως, ῥιτίνης, κλη-

μα σταφυλῆς μελαίνης καυθὲν καὶ ξηρὸν γενόμενον μέρος ἕν· ταῦτα πάντα κόψας καὶ σήσας ἀναλάμβανε, καὶ κόπρον ὄρνιθος, καὶ ὄξος τὰ ἀρκοῦντα, καὶ ἐπιδέσμει ὡς προείρηται.

## Μάλαγμα.

Σμύρνην ἀληθινὴν, καὶ ἀλόην. ἀμφότερα μίξας καὶ λειώσας, καὶ λευκὸν ὠοῦ ἀναλαβόμενος, ἐπίθες εὐφυῶς, καὶ ἐπιδέσμει· καὶ ἔα αὐτὸ ἄχρις ἂν ἀποκολληθῇ τοῦ πάσχοντος τόπου.

## Εἰς θλάσιν ποδός.

Ἐπίθες τῷ ποδὶ τοῦ ἱέρακος σμύρναν καὶ λίβανον ἴσον λειώσας, * καὶ ὠοῦ τὸ λευκὸν ἀναλαβών· εἶτα ἐρίῳ λευκῷ ἐπιδέσμευσον. καὶ ἀπόλυσον αὐτὸν ἐν οἰκήματι, καὶ ἀποκατασταθήσεται.

## Ποῖα τῶν κλασμάτων θεραπεύονται, καὶ ποῖα οὔ.

Κλάσματα θεραπεύονται διάφορα. ἐκ βουβῶνος κλασθεὶς ἱέραξ, μένει ἀθεράπευτος· ὁμοίως καὶ ἐξ ἁρμοῦ, καὶ ἐξ * ἀκροπτέρου. τὰ δὲ δυνάμενα θεραπευθῆναι ἐπιδήσας νάρθηκι

ἢ καλάμῳ ἐξίσωσον, ἢ τὸν πόδα, ἢ ἕτερον μέρος, καὶ εἰς κοιτῶνα σκοτεινὸν χόρτον στρώσας, ἀπόθου τὸ ὄρνεον, πρὸς τὸ σκύλλεσθαι. κατάκοπτε δὲ κρέας, καὶ παράβαλλε αὐτῷ, καὶ ἄφες ἐπὶ ιά ἡμέρας· καὶ μετὰ ταῦτα ἄρας αὐτὸν ἠρέμα ἔξω λῦσον τὸν νάρθηκα ἀπὸ τοῦ κλάσματος· εὑρήσεις δὲ αὐτοῦ τὰ νεῦρα παρεσπασμένα. λαβὼν οὖν ἔμπλαστρον χαλαστικὸν ἐπίθες, πρὸς τὸ συγχαλάσαι καὶ μαλάξαι τὰ νεῦρα. ἔστι δὲ ἡ σύνθεσις τοῦ ἐμπλάστρου, αὕτη· λιθαργύρου λίτρας β΄. πίσσης α΄ ς΄΄. ἀσφάλτου ἰουδαϊκῆς λίτρας β΄. πιτυΐνης ξηρᾶς λίτρας β΄. κηρίου λευκοῦ τρακτοῦ λίτρας β΄. λιβάνου λίτρα α΄ ς΄΄. στέατος ταυρείου οὐγγ. ς΄. ἀλθαίας χυλὸν· λινοσπέρματος χυλὸν ἀνὰ οὐγγ. ς΄. ἐλαίου χαμαιμήλου τὸ ἀρκοῦν· τὰ τηκτὰ τῆξας μετὰ τοῦ στέατος. τὸν δὲ λιθάργυρον καὶ τοὺς χυλοὺς ἑψήσας μετὰ ἐλαίου, ἐπίβαλε τοῖς τηκτοῖς, καὶ πάλιν ἕψε τὸ ἱκανὸν, καὶ ἀνελόμενος ἐκ τοῦ πυρὸς, ἐπίπαττε τὴν ἄσφαλτον καὶ τὴν λίβανον κεκομμένα· καὶ κίνει ἕως ψυχρανθῇ, καὶ ἀναμαλάξας, ἔχε καὶ χρῶ.

## Εἰς ἐνβολὴν ποδός.

ΕΑΝ μὲν πτεροῖς τὸ τῶν πλειῶν γένος ἡ φύσις ἐπλούτισε, δι' ὧν τὸν ἀέρα διατέμνειν εἴθισται, ἀλλ' οὖν οὐ μείονα τούτου, καὶ τὴν ἀπὸ τῶν ποδῶν αὐτοῖς χρείαν καὶ συνέργειαν ἐνέθηκεν· εἴπερ θηρεύονται διὰ τούτων, καὶ ἐγκρατεῖς γίνονται τῶν ἐχθρῶν, καὶ τῆς τροφῆς εὖ μάλα περιδραττόμενοι, τὸ ἴσον βούλονται ταύτης ἡδέως τῷ ῥάμφει, καὶ ἀναλαμβάνουσι· καὶ μὴν καὶ ἀνάπαυλα τούτοις ἐν τῷ καθῆσθαι προξενοι γίνονται, τὸν ἐν τῷ πλησίον πόθον παραμυθούμενοι. ἀλλὰ τί ἔτι νῦν τὰ τῆς φύσεως δῶρα ἀπαριθμεῖσθαι, πλὴν εἰς παράδειξιν τινῶν, ἢ τῆς θέσεως ἐνβολήν τινα ὑπομεινάντων βοήθειαν· ἕξει δὲ ὁ τούτων τῇ φροντίδι ἐνασχολούμενος ταῦτα· ὅταν ἐνβολὴν ὑπομείνῃ ὁ ἱέραξ ἐν τῷ ποδὶ, ἢ μετακίνησιν δακτύλου, ἢ αὐτὴν τὴν θέσιν τοῦ ποδὸς λάβῃ, ἢ ἀπὸ συρίγματος, ἢ ἀπὸ τοῦ περιπλακῆναι αὐτὸν ἐν τῷ κονταρίῳ, μὴ κρεμαμένου καταπετάσματος· θεράπευε αὐτὸν οὕτως· σκωρίαν χαλκέως λαβὼν, καὶ κόψας, καὶ τρίψας ἐπιμελῶς, καὶ μετὰ ὄξους λειώ-

σας, τὸν πάσχοντα τόπον χρίε. ποίει δὲ καὶ τὸ τῶν κοχλίων τῶν μικρῶν κατάχρισμα, ὡς ἐν τῷ περὶ φλεγμονῆς εἴρηται.

## Μάλαγμα.

Κασσείου, ἰοῦ, ξυστοῦ φύλλα, λιθαργύρου ἀνὰ οὐγγ. ϛ''. σμύρνης, κηροῦ, ἀσφάλτου, ἀνὰ οὐγγ. β'. τὸ κασσεῖον, τὸν λιθάργυρον, καὶ τὸ φύλλον κόψας, καὶ σήσας, καὶ διακαθάρας λεπτῷ κοσκίνῳ, καὶ τὰ τηκτὰ τήξας, καὶ ἀναμαλάξας ἐπιτίθει περιαντλῶν ὕδατι θερμῷ.

## Περὶ οἰδηκότος, ἤτοι ἀποστίου.

Γίνεται τὸ τοιοῦτον ἀπὸ λώρου σκληροῦ, ἢ ἀπὸ χθονὸς σκληρᾶς. ἡ οὖν θεραπεία αὕτη· ἀμυχὰς δίδου εἰς τοὺς δακτύλους καθ' ὁδὸν, ἢ μετὰ φλεβοτόμου ἰατρικοῦ, ἢ μετὰ ὀξυτάτης καὶ λίαν ἠκονημένης μαχαίρας· εἶτα λίβανον καὶ λιθάργυρον, καὶ ὕελον ἀλεξανδρινὴν, καὶ ᾠοῦ τὸ λευκὸν, καὶ κοχλίου τὸ κολλῶδες καὶ σιελῶδες λειώσας, ἅμα κατάπασσε τὸν πόδα, καὶ ἐπίδεσμει, καὶ μὴ λύσῃς αὐτὸν, ἄχρις ἂν ὑγιὴς γένηται. εἶθ' οὕτως οἴνῳ θερμῷ ἐπίβρεχε τὸν πόδα, καὶ καλῶς ἕξει.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

### Εἰς ἀνοιδοῦντα πόδα.

Κηροῦ οὐγγ. δ΄. στέατος ὀρνιθίου οὐγγ. β΄. ὀποῦ βαλσάμου τὸ ἀρκοῦν μίξας, καὶ ποιήσας κηρωτὴν, ἐπιτίθει.

### Εἰ σφαιροποιηθῇ ὁ ἀστράγαλος, ἤτοι φλεγμαίνῃ.

Λαβὼν λίβανον ἀρρενικὸν, καὶ ὕελον, καὶ μάρμαρον, τὸ ἴσον ἑκάστου τρίψας καὶ λειώσας, ἀναλάμβανε χολὴν τράγου καὶ ὠοῦ τὸ λευκὸν, καὶ ἐπίθες εἰς τὸν ἀστράγαλον τοῦ ἱέρακος, καὶ ἐπιδέσμει εὐφυῶς.

### Εἰς φλεγμονὴν ἱέρακος.

Λαβὼν κικίδια, καὶ σμύρνην ἀληθινὴν, καὶ ἀκακίας τὸ ἴσον ἑκάστου τρίψας, καὶ λειώσας ἐν ἰγδίῳ ἐπίσταζε ὄξος, καὶ ὅταν γλοιώδες γένηται, χρίε τούτου τοὺς πόδας.

### Ἄλλο.

Κοχλίας μικροὺς λαβὼν, καὶ σὺν τοῖς ὀστράκοις αὐτῶν θλάσας, ἐπίδησον δι' ὀθονίου, καὶ τοῦ ἐπιθέματος λαβὼν, χρίε τὰ φλεγμαίνοντα τῶν

τὰ τῶν ποδῶν μέρη. Ἄλλο.

Μαρμάρου καὶ ὀστράκου ἀπὸ κατενέξεως* οἰκημάτων, καὶ γύψου, καὶ ἀμμωνιακοῦ, καὶ περιπόλιος, καὶ κόπρου κατοικιδίας ὄρνιθος, καὶ ἅλατος γαστρικοῦ, καὶ ῥιτίνης, καὶ πίσσης· ταῦτα τῷ ἴσῳ σταθμῷ βάλλων, καὶ κόψας, καὶ ἀναμαλάξας, ἐπίθει.

Εἰς περιστροφὴν ποδός.

ΣΜύρνην ἀληθινὴν, καὶ κοχλίου τὸ σαρκῶδες λειώσας ἐπίθει.

Εἰς νευροτρώτοις.

ΕΚ συμπλοκῆς ἐστὶν, ὅτε τοῦ νεύρου ἐν τῇ τροπῇ τρωθέντος συσπᾶται τοῦ ἱέρακος ὁ τρωθεὶς πούς· δεῖ οὖν τὸν περιπεσόντα τοιούτῳ πάθει ἐπαντλεῖν ἐλαίῳ χλιαρῷ, καὶ μετὰ τὴν κατάντλησιν, μαλακτικὸν ἔμπλαστρον ἐπιθεῖναι. δεῖ δὲ καὶ συνεχέστερον ποιεῖν τὴν κατάντλησιν.

Εἰς μυρμηκίασιν.

ΤΟΝ ἱέρακα συμβαίνει μυρμηκιᾶν, ἐπαναστάσεως τινὸς γινομένης τυλώδους τῷ του-

τοῦ σώματι. τοιοῦτον γὰρ τὸ τοῦ πάθους εἶδος περιφερὲς τυγχάνον, καὶ πλατεῖαν ἔχον τὴν βάσιν πρὸς ταῖς ἀποξύσεσι, αἴσθησιν ἐμποιεῖ τοῦ περιδήγματος μύρμηκος· χρὴ οὖν θεραπεύειν οὕτως· ἀγριοσυκῆς ῥίζαν νεαρὰν συνθλάσας, ἀπόθλιψον, καὶ λαβὼν τὸν ζωμὸν, ἐπάλειφε αὐταῖς, καὶ θεραπευθήσεται.

## Αλλο.

Κεδρέαν μετὰ ὄξους δριμυτάτου, μίξας, ὑπάλειφε.

## Αλλο.

Ακροχορδόνην βοτάνην μετὰ πηγάνου χλωροῦ, ἀναδέσμου· εἶτα· λαβὼν ἐν ἰγδίῳ, κόψας αὐτὰ ἐπίχριε.

## Εἰς ἥλους.

Χελώνης αἷμα λαβὼν, μίξον μετὰ ὄξους δριμυτάτου, καὶ ἄλειφε αὐτά.

## Ἄλλο.

Ως ἀνθρώπῳ, οὕτω δὴ καὶ ἱέρακι συμβαίνει ποδαλγία, ῥεύματός τινος ἄνωθεν ὥσπερ ὀχετοῦ προσκάταντες καταῤῥέοντος, τῆς αἰτίας ἐκ μοχθηρῶν γινομένης χυμῶν· δεῖ οὖν θερα-

πεύειν οὕτως· ἀκακίας στάκτης γράμμ. η΄. ἀμμωνιακοῦ θυμιάματος γράμμ. β΄. ἀλόης ἰνδικῆς γράμμ. α΄. βολβοῦ σκίλλης. γράμμ. α΄. κόλλης τεκτονικῆς γράμ. α΄. λίβανον ἀρρενικὸν γράμμ. α΄. ἐλλεβόρου κρητικοῦ γράμμ. α΄. ὄξοις τὸ ἀρ-κοῦ. τὸ ἀμμωνιακόν, καὶ τὸν λίβανον περιέχει μετὰ ὄξοις· τὰ δὲ λοιπὰ κόψας καὶ σείσας ἐπίβαλε τούτοις, καὶ πάλιν λείου, καὶ ἀνάπλαττε τροχίσκοις, καὶ ἔχε, ἐπὶ τῆς χρείας δὲ διαλύων ὄξει, χρῶ.

## Πρὸς πόρους τοὺς ἐν ποσίν.

ΤΟΥΣ δὲ πόρους τοὺς ἐν ποσὶν ἰασώμεθα, διαπαντὸς ὕδατι καταντλοῦντες ψυχρῷ.

## Εἰς ῥεῦμα ποδός.

ΛΑβὼν πίσσαν ὑγρὰν, καὶ ξηροῦ ξανθοῦ, βάλλε ἐν χύτρᾳ, καὶ ἕψει· εἶθ' οὕτως ἐπίπαττε κενταύρειον κεκομμένον, καὶ ἀναφυράσας, ἄλειφε τοὺς πόδας τοῦ ἱέρακος.

## Εἰς ἀποβολὴν ὄνυχος.

ΠΟλλάκις συμβαίνει πρὸς τὰ πολέμια τῶν ὀρνέων διαμαχόμενον τὸν ἱέρακα ἀποβαλεῖν τινα τῶν ὀνύχων· καὶ μάλιστα ὅταν πήξας τοὺς ὄνυχας, ὑπὸ πολλῆς ἰσχύος τοῦ πολεμεῖν ἀποστῆναι σπουδάζων, μὴ ἀνίησιν αὐτός· οὕτως γὰρ ἐκκινηθεὶς διαφθείρεται μᾶλλον, καὶ ἀποβάλλει τὸν ὄνυχα, μὴ δυναμένης τῆς ἰσχύος καθυφεῖναι, ὃν θεραπεύσεις τόνδε τὸν τρόπον· λαβὼν τὸν ἐκβεβλημένον ὄνυχα τοῦ ἱέρακος, καὶ ἐπιχείσας τῇ τοῦ σιδήρου σκορίᾳ λεπτῇ λίαν κεκομμένῃ, ἣν χρὴ ἔχειν ἀεὶ ὡς ξηρίον, τὸν τόπον, ἔνθα ἡ ἐκβολὴ γέγονε τοῦ ὄνυχος, εἰσάγειν ἁρμοδίως, καὶ ἐπιδήσας καλῶς, φύλαττε· κολλήσει γὰρ οὐκ εἰς μακράν, ὑπὸ τοῦ φαρμάκου· δεδέσθω δὲ μέχρις ζ΄ ἡμερῶν ἐπιμελῶς· ἐὰν δὲ φλεγμονὴ ἐπαναστῇ ἐκ τῆς ὀδύνης, τρίψας ὄστρακον τὸν ἀείπνουν λεγόμενον, ἐπίχεε τὴν τοῦ ὄνυχος ἐκβολήν. κάλλιστον δὲ ποιήσεις, εἰ καὶ ὅλον τὸν πόδα χρίσεις, ὅθεν τὸν ὄνυχα ἀντεισήγαγες ἐκβληθέντα.

## Ἄλλο.

Εἰ συμβῇ κλάσαι τὸν ὄνυχα, ἢ ἐκβαλεῖν ἀπὸ οἵας δή τινος αἰτίας, καὶ μάλιστα τῶν μεγάλων ὀνύχων· εἰ μὲν ἔξω τῆς θέσεως κλασθέν, ἐγκλείσῃς τὸν ἱέρακα δίχα δεσμῶν ἐν οἰκήματι, καὶ καλῶς εἰς τὴν χρείαν ἐπὶ τῷ παραβάλλειν τὴν τροφήν, ἄλειφε τὸν ὄνυχα ἀξουγγίῳ νεαρῷ χοιρείῳ, ἢ ἀρνείῳ, καὶ ἐκ παντὸς τρόπου αὐξήσει τὸν ὄνυχα. εἰ δὲ πλησίον τῆς θέσεως ἀποκλασθῇ, ὅμοιον σχῆμα ποιήσας χαλκοῦ ὄνυχος, καὶ τοῦτο μεστώσας ἀξουγγίῳ χοιρείῳ περίδησον τὸν κόνδυλον τοῦ ὀρνέου, καὶ οὕτως αὐξανόμενος, ἴσος τῷ ἑτέρῳ γενήσεται.

## Εἰς τὸ ποιῆσαι ἁπαλὸν ὄνυχα.

Στερεώσεις ἁπαλοὺς ὄνυχας τοῦ ἱέρακος, εἰ μετ' ὄξους δριμέος θερμοῦ διαβρέχεις· αὐξήσεις δὲ ὑδρελαίῳ χλιαρῷ διαβρέχων.

## Εἰ ὄνυξ ἀποδυθῇ.

Λιθάργυρον καὶ σμύρναν λειώσας μετ' ὄξους ἐπίχριε.

### Εἰς τὸ κάμψαι ὀρθότατον ὄνυχα ἱέρακος.

Ἱέρακος εὐχερῶς κάμψεις τοὺς ὄνυχας, ἐὰν μάλαγμα ἱππιατρικὸν ἐπιθεὶς, πυρίᾳ περιτρόπῳ χρώμενος, καὶ οὕτως κατὰ μικρὸν κάμπτων αὐτούς. εἰ δὲ τοῦ ἱππιατρικοῦ μαλάγματος σύνθεσις ἐστὶν αὕτη· ἰσχάδων λιπαρῶν τὰς σάρκας, σταφίδας ἄνευ τῶν γιγάρτων ἀνὰ οὐγγ. α΄. νίτρου ὀπτοῦ οὐγγ. α΄. καρδαμώμου σπέρματος οὐγγ. α΄. ἀμμωνιακοῦ θυμιάματος οὐγγ. ϛ΄΄. πίσσης, προπόλεως, χαλβάνου, κηροῦ, ὀποπανάκου, ἰξοῦ δρυΐνου· ἀνὰ οὐγγ. γ΄. στέατος ταυρείου, στέατος ὑείου, στέατος χηνείου, ἀνὰ οὐγγ. α΄. τὰ ξηρὰ κόψας καὶ σήσας, καὶ τὰ τηκτὰ τήξας, ἐπίπασσε τὰ ξηρὰ, καὶ ἀναμαλάξας χρῶ.

### Ὅπως δεῖ κινεῖσθαι τὸν ἱέρακα εἰς τοὺς πέρδικας.

ΤΟΥ ἱέρακος ἀσκηθέντος καλῶς ἐν τοῖς ἐκκλητίσμασι, καὶ εἰς γνωριμότητα ἀκριβῆ τῆς τοῦ ἱερακοτρόφου φωνῆς, καὶ τοῦ συριγμοῦ γινομένου, ὡς ἅπαξ κληθέντος ἐξίπτασθαι τοῦτον εὐθέως, ἢ τῇ χειρὶ προσκαθημένου,

καὶ ἐξεπίτηδες παρὰ τοῦ ἱέρακος ἐκεῖσε ἀπολυθέντος, καὶ ἐπιδεικνυμένου ἐπιδράττεσθαι βρώματος, καὶ ἤδη πρὸς τὸ μένειν θηρᾶν γεγονότος ἐπιτηδείου, δεῖ πρὸ τῆς ἡμέρας τῆς θήρας. Φροντίζειν καὶ τοῦτο· προσφάτως ἐξ αἰγὸς κρέατος, ἢ προβάτου, ἢ γείλλου καθαροῦ, καὶ μὴ νευρώδεις ἢ λιπώδεις ἀπογεύεσθαι τὸν ἱέρακα, τοσοῦτον, ὡς μὴ ἄχρι κόρου τὴν γαστέρα ἐμπλησθῆναι, ἀλλὰ τοῦ ἀρκοῦντος πρὸς κόρον τὸ ἥμισυ· εἰ δὲ ἀπορία νεαροῦ κρέατος τοιοῦτον γινέσθω ψυχροτέρου, καὶ ἐκ μιᾶς ἡμέρας τυγχάνοντος· εἰ ἢ καὶ δύο· μὴ * μὴν ὡς ἔχει ψυχρότητος, οὕτω διδόσθω τῷ ἱέρακι· σοφίζεσθαι δὲ δεῖ καὶ ὡς νεαρὸν τοῦτο τυγχάνον καὶ πρόσφατον· ψυχροτέρου τυγχάνοντος τοῦ καιροῦ, καὶ ὥρα χειμῶνος, τελσὶν ἅτε μεριζόμενον, ὧν προσφάτη αὐτῇ· χλιαρῷ ὕδατι τὸ βρωθησόμενον ἐμβαλὼν, καθάραι σπούδασον τὴν ἔξω ἀηδίαν· ἐάσεις δὲ μένειν ἄχρις ἂν χλιαρὸν γένηται· εἶτα ἐξαγαγὼν, δώσεις εἰς θοίνην τῷ ἱέρακι. δευτέρα δὲ, χλιαροῦ ὕδατος μὴ εὑρεθέντος, πυρὶ θερμανεῖς τὸ κρέας, τοῖς δακτύλοις καταψῶν καὶ συντόμως συστρέφων, ὥστε

θερμανθῆναι μὲν, μὴ ξηρανθῆναι δέ· καὶ οὕτω δώσεις εἰς εὐωχίαν τῷ ζώῳ. τρίτη δὲ, εἰ στερήσεις ὕδατος χλιαροῦ καὶ πυρὸς ὑφάσματι καθαρῷ, περικαλύψας τὸ βρῶμα, καὶ τῇ οἰκείᾳ ἐναποθήσεις μασχάλῃ· οὐ μέν τοι τῆς σαρκὸς τοῦ ψαύειν ὀφεῖλον * τὸ περίκαυτον τῆς θοίνης ὕφασμα, ἀλλ' ἄνωθεν ἐσθῆτος μιᾶς ἀποτίθεσθαι, ἵνα μὴ τῆς ἀνθρωπείας ἀπολαβὼν ὀδμῆς, ἀπολέσῃ μὲν καὶ τὴν οἰκείαν ῥωστικὴν δύναμιν, γένηται δὲ καὶ βλάβης τῷ ζώῳ παραίτιον· καὶ οὕτω διαφυλαχθὲν παρεχέσθω εἰς βρῶσιν κατὰ τὸν ἀνώτερον σκοπόν. θερμοτέρου δὲ ὄντος καταστήματος, ὕδατι πλύνειν αὐτὸ, καὶ εἰς βρῶσιν παρατιθέναι τοῦ ζώου· οὐχ ἁπλῶς δὲ δώσεις τὸ τοιοῦτον βρῶμα τῷ ζώῳ, ἀλλὰ μέτρον λεπτῦναι τοῦ κρέατος ἐπικάλυψον ἐν τῷ μέρει βαμπακίου καθαρὸν ὡς τὸ ὅλον δοκεῖν εἶναι κρέας· καὶ φαγὸν τοῦτο ὠφεληθήσεται οὐ μικρῶς, ὥστε τὸ χωνεῦσαι, καὶ τὴν ὄρεξιν διεγεῖραι, καὶ τὸ τὰ περιττὰ καὶ μοχθηρὰ ἀποσκευάσασθαι. οὕτω δὲ αὐτὸν θρέψας, τῷ συνήθει τόπῳ ἐγκαθίσεις, καὶ προσμενεῖ ἄχρις ὥρας η΄, ἢ θ΄. πεινῶντα δὲ τῇ λαιᾷ χειρὶ λάβῃς, καὶ

ἐπὶ

ἐπὶ ἀλόγου καθίσης, καὶ ἐλάσης ἄνω καὶ κάτω, ἡμέρως περιποππύζων, καὶ καταψῶν αὐτὸν τῇ δεξιᾷ χειρί· δεικνύειν τε τοῦ ἀλόγου καὶ τὰ ἐμπρόσθια καὶ τὰ ὀπίσθια βασταζομένῳ ἄχρις ἑσπέρας. συμβάλλεται γὰρ τοῦτο καὶ εἰς τὴν θήραν, καὶ εἰς τὸ χωνεῦσαι, καὶ εἰς προθυμίαν ὀρέξεως ἐλθεῖν. ἑσπέρας δὲ τῷ συνήθει τόπῳ καθίσης ἄχρις ὄρθρου· καὶ πάλιν ἀναστὰς, καὶ βαστάσας τῇ χειρὶ, πλησιάσεις τῇ φωτίᾳ, εἴ τε κηρός ἐστιν, ἢ λύχνος, ἢ δᾷδες, μὴ μέντοι τοῦ καπνοῦ αὐτῶν, καὶ ποππύσεις, καὶ καταψήσεις, ἵνα σοι συνήθης γένηται, καὶ εὐχείρωτος, καὶ ἀγαπηθήσῃ παρ' αὐτοῦ. ἡμέρωσιν γὰρ προξενεῖ τὸ ἐπὶ χειρὸς βαστάζεσθαι, καὶ μεταδιδόναι κολακείας καὶ ποππυσμάτων. ὀφείλει δὲ προσεῖναι, καὶ τὸ κυνηγετικὸν κυνάριον ἔν τε ταῖς εὐωχίαις, καὶ ταῖς ἄνω καὶ κάτω περιελεύσεσιν, ἵνα πρὸς ἄλληλα ἑκάτερα ἐθίζωνται, καὶ καιροῦ καλοῦντος, ὡς συνεργὸν ὁρᾷν τὸν κύνα, καὶ μὴ ὡς ἐκ πολεμίου ἀναπτᾶν, καὶ ἐκδιδράσκειν· ἕως δὲ καταλαβούσης, ἐπὶ τὴν θήραν ἐξιέναι. καὶ σκοπείσθω τόπος μὴ ἁπλῶς καθομαλισμένος καὶ ὕπτιος, ἀλλὰ καὶ ῥύακα τινὰ ἔχοντα, καὶ κα-

τὰς φυγὰς μὴ συνεχεῖς, ἀλλ' ἐφ' ἱκανὴν ἀλλήλαις διϊσταμένας, ἀλλὰ μηδὲν ἀνόδους καὶ αὖθις καθόδους, ὡς ῥύαξιν ἑτέροις αὐτὸν ἐξισοῦσθαι. ταῦτα γὰρ, τοῖς μὲν διωκομένοις πτηνοῖς λυσιτελεῖ, καὶ πρὸς βοήθειαν αὐτῶν καὶ διαφυγὴν ἕτοιμα· τῷ δὲ θηρατῇ ἱέρακι, τῷ συνεχεῖ τῆς ἐπὶ τὰ ἄνω τῶν βουνῶν πτήσεων, καὶ τῶν ἐπὶ τὰ βαθύτερα τοῦ μόχθου τε αὔξοντα, καὶ εἰς δειλίαν εἰσφέροντα, καὶ κατὰ τὸ πλεῖστον τὸν ἱέρακα ἀποναρκῶντα οὐχ ἥκιστα, καὶ τὸν θηρατὴν ἀδόκιμον ἀποφαίνοντα· καταλαβὼν δὲ τὸν τόπον, καὶ δῆλος τοῖς πέρδιξι μὴ γεγονώς, ὀφείλει τῷ ἐδάφει καθίσαι, καὶ τῶν ἐπασμάτων τῶν περδίκων ἐπακροᾶσθαι τῷ μήπω θηρατῇ ἱέρακι. εἰώθασι γὰρ περὶ κελαδεῖν ἥσυχόν τι καὶ διάτορον ἅμα, ἀκολουθεῖν τε ταῖς ἐκείνων ᾠδαῖς, καὶ τὸν τόπον ὡς οἷόν τε καταλαβεῖν, προσλαλῶν ἡμέρως, ἔα, ἔα, ἔα. αὕτη δὲ ἡ φωνὴ πείθειν τὰς πέρδικας δύναται, καταδύειν τὰς κεφαλὰς, καὶ μὴ πετάσεσθαι, καὶ μᾶλλον τὸν καλοῦντα ἡμέρως θεώμενοι· ὁ δὲ προσλαλῶν, ὅτε δὴ καὶ πλησιάζῃ αὐτοῖς, συνεχῶς λεγέσθω τὸ ἔα, ἔα, ἔα, ἡμέρως,

καὶ προσεχέτω τούτοις· ἵνα μὴ τοῖς ποσὶ κατὰ μικρὸν διαδράντα τὴν κοίτην πράγματα τοῖς θηραταῖς παρέχωσιν, ὥστε ἐφευρεῖν τούτοις· τοῦ δὲ κοιταστοῦ ἀσφαλῶς τὰ ῥηθέντα ποιήσαντος καὶ ὁ θηρατὴς σὺν καὶ ἑτέρῳ κατειληφὼς τὴν θηρευτικῶν κυναρίων δεδεμένων ὄντων, καὶ μαθὼν, ὅπως τε ἀκίνητοί εἰσιν οἱ πέρδικες, περισκοπείτω ἐν ἑκατέροις τοῖς μέρεσι συνηρεφῆ τε καὶ λάσιον, ὡς καὶ ἁρμόττειν εἰς καταφύγιον, καὶ οὕτως ἐν ἐκείνῳ τῷ μέρει συντάσσει κατ' εὐθεῖαν τῆς θήρας συνεργοὺς, καὶ ὁμαλῶς ἐπιταξάτω βαδίζειν, καὶ διὰ προσοχῆς, φωνάς τε ἀφιέναι συνήθεις καὶ συριγμούς. καὶ χρῆσθαι τοῖς ἐπιφερομένοις ῥάβδοις τοῖς θηραταῖς, παίειν καὶ τοὺς κατ' εὐθεῖαν κλάδους, τὴν γῆν, τὰς βοτάνας, καὶ εἴ τι ἕτερον εὑρεθὲν παρατυχόν· ὅπου δὲ οὐδὲν σώζει ἡ ῥάβδος, πέμπειν λίθοις, ἢ βώλοις τῆς γῆς, ὥστε τῷ συνεχεῖ τῶν κτύπων ἀναρραχθῆναι τοὺς πέρδικας· σὺ δὲ ὁ τὸν ἱέρακα ἐν τῇ λαιᾷ φέρων πόῤῥωθεν ἐπανεστηκὼς προσδόκα τοὺς πέρδικας διελεύσεσθαι· *προσδόκα αὐτούς· καὶ ὡς ἀκούσῃς τὸν παγανευτὴν, τὸ, θεώρει, εἰ ἅμα τῇ πτήσει ἐκείνων,

προθυμῆσαι καὶ ὁ ἱέραξ, καὶ μὴ λύσῃς αὐτόν,
ἀλλὰ μικρὸν ἀποστρέψας, ὡς μὴ ὁρᾶν, δια-
τέλεσον ἄχρις ἂν τοῦ διελθεῖν τοὺς πέρδικας ἔμ-
προσθεν τοῦ ἱέρακος, διὰ τὸ κατευθὺ ἐκείνων
εἶναι διώκοντα, καὶ δείξας αὐτῷ αὐτοὺς καλῶς,
ἐκτείνας τὴν χεῖρα, ἀπόλυσον αὐτὸν εὐφυῶς,
κολακεύων καὶ ἐποτρύνων, καὶ θαῤῥαλέον ποιῶν·
καὶ τοσοῦτον αὔξων τὴν φωνὴν, ὅσον ὁ ἱέραξ
δύναται, καὶ πρὸς τὸν διωγμὸν σπεύδει. καὶ οὕ-
τως ὁ λύσις τοῦ ἱέρακος γινομένη καθέστηκεν
ἀσφαλής. θράσος γὰρ ἐνίησι τῷ ἱέρακι, καὶ προ-
θυμίαν εἰς τὸ διώκειν, καὶ τοῖς ὠσὶν ἐκείνου τῆς
φωνῆς πεμπομένης συνήθοις καὶ γνωρίμου·
κἂν τούτῳ γὰρ παρωθούμενος, οὐδὲ τὴν τῶν
ἀετῶν ποιεῖται ἐπέλευσιν. ὑπὸ τούτων κατε-
πειθόμενος· εἰ δὲ μήπω τοὺς πέρδικας στοχάση-
ται, καὶ ἅμα τῇ φωνῇ τῶν παγανευτῶν ἀπο-
λύσεις, ἀστοχῶν τῆς θήρας, καὶ θλιβήσεται, καὶ ὀκ-
νηρὸς εἰς τὸ ἑξῆς γενήσεται καὶ ἀσυνέργητος· ταῦ-
τα μὲν περὶ τῆς ἀπολύσεως. θηράσαντος δὲ τοῦ
ἱέρακος ὀξεῖ χρησάμενος τῷ ποδὶ, πλησιά-
σαι σπεῦσον τῷ θηρατῇ, καὶ ἀπαραλόγως ἐγγίσας,
καὶ κολακεύσας, χρῶ τῇ συνήθει φωνῇ, ὡς,

ὢϊ, ὢϊ· καὶ ποππύζων περικάθισον, τῇ μὲν χειρὶ τῷ* κοντῷ ἐπιλαβόμενος τοῦ ἱέρακος· τῇ ἑτέρᾳ δὲ αὐτοῦ τὸ οὐραῖον ἐξομαλίζων, καὶ ἔα καθάψασθαι ὡς βούληται τοῦ θηράματος, καὶ κορεσθῆναι· μετὰ δὲ τὴν τροφὴν αὐτὸν ἀνελόμενος, τῇ συνήθει ἕδρᾳ τοῦτον κάθισον ἀταράχως, καὶ ἄνευ ὀχλήσεως. ἐγκαθίσας δὲ τῷ συνήθει κοντῷ, μὴ ἀμελήσῃς, ἀλλὰ δι' ὅλης τῆς ἡμέρας, καὶ τῆς νυκτὸς πεντάκις καθάψασθαι χρεὼν καὶ μετασαλεῦσαι αὐτόν. τούτῳ γάρ τῷ τρόπῳ καὶ τὴν τροφὴν πέψει τὴν ἐν τῇ γούλᾳ, καὶ ὑγιὴς ἔσται· εἰ δὲ ἀμελήσεις τούτου, καὶ οὐ κινήσεις αὐτὸν πεντάκις, καθὼς εἴρηται, τῆς νυκτὸς, πέψαι τὰ σιτηθέντα αὐτῷ· εἰ μὲν ἐναπολειφθεῖσα τροφὴ τῇ γούλᾳ, ὀξώδης γενήσεται, καὶ οὐ μικρῶς βλάψει τὸ ζῶον, ἅμα ὡς τὴν τροφὴν μὴ πέψαι· ἅμα δὲ, ὅτι καὶ τὰ μὴ πεφθέντα δυσώδη γενόμενα, ἀφορήτως φέρει αὐτὸ τὸ ζῶον. εἰ οὖν τοῦτο γένηται, τὴν ἕω λαβὼν αὐτὸν, βάσταζον τῇ χειρὶ, καὶ περιφέρειν ἄχρι δευτέρας ὥρας, σκόπει ὅπου ἀφοδεύσειεν· εἶτα καλέσας αὐτὸν εἰς τὸ θέρμα, μόνον ἀπογευσάσθω, καλούσης τῆς ἀγέλου, καὶ λαβὼν

ἔξελθε ἐπὶ θήραν, ποιῶν ἃ σοι ὑπεδείξαμεν· τῶν δὲ παγανευτῶν καὶ αὖθις διερευνώντων, εἰ πέρδικες ἀναπλήσουσι, δεῖ σοι μακρόθεν λύειν τὸν ἱέρακα κατόπιθεν αὐτῶν· οὕτως γὰρ ἀπολυόμενος οὐ σκορπίζει τοὺς πέρδικας, ἀλλ' ἡνωμένους ἐν ἑνὶ τόπῳ, ὡς ἐν τῷ καταφυγίῳ περιΐστα, καὶ τὸ ἀπὸ τούτου ἐφίστασθαί σε δεῖ βοῶντα, συριγμοὺς πέμποντα, καὶ λίθους ὁπότε χρεία κατ' αὐτῶν βάλλοντα· διὸ καὶ τῇ ἐφισταμένῃ ἀνάγκῃ συμβαίνει ἕνα ἢ τινὰς τούτων ἀναπλεῦσαι τοῦ καταφυγίου, καὶ οὕτως θήραν ἱκανὴν τῷ ἱέρακι γενέσθαι ἐκ τούτων, καὶ περαιτέρω χωρεῖν, οὐ δεῖ τέως δ' ἐπὰν τοῦ πέρδικος τοῦ πρώτου ὁ θηρατὴς ἱέραξ καθάψηται. δεῖ σε τὴν μάχαιραν σπασάμενον, τεμεῖν τὸν τοῦ πέρδικος λαιμὸν, καὶ τὴν κεφαλὴν δίχα σὺν τῷ μυελῷ, καὶ ἐάσεις τὸν ἱέρακα ἰσχυρῶς τοῖς ὄνυξι καὶ τῷ στόματι καθάψασθαι τοῦ πέρδικος. καὶ οὕτως τὴν μὲν λαιὰν τῷ πέρδικι ἐπιθεῖναι καὶ τοῖς ποσὶ τοῦ ἱέρακος περιειλημμένην τῷ καλουμένῳ ἐπιμανικίῳ· συνέχειν γὰρ ἐπείγου ταύτην πρὸς τὸ * ἀνατέχεσθαι τοῦ θηράματος· τὴν δὲ ἤδη τμηθεῖσαν κεφαλὴν παραθεὶς ἄνωθεν

τοῦ ἐπιμανικίου, φαγεῖν τὸν ἱέρακα ἐξ αὐτοῦ παρασκεύασον, τῇ δεξιᾷ χειρὶ τῷ στόματι ταύτην πλησιάσας· ἁψαμένου δὲ αὐτῆς τοῦ ἱέρακος, μὴ τὴν χεῖρα ἀντίτεινε πρὸς τὸ γυναικότερον τῆς θήρας ταύτης καθάψασθαι· ἔχεται γὰρ τοῦ πέρδικος ἰσχυρῶς τοῖς ὄνυξι, καὶ ἀφιέναι αὐτὸν ἑκὼν προθυμηθήσεται. ἐνδιδόντος δέ σου τὴν δεξιὰν χαύνως τῷ στόματι, καὶ τοσοῦτον, ὡς μὴ δύνασθαι θοινήσασθαι τὴν τοῦ πέρδικος κεφαλὴν, εἰ μὴ καὶ τοῖς ὄνυξιν αὐτῆς ἐπιλάβηται μόνος, τούτου ἀφέμενος, τῆς κεφαλῆς ἐπιδράττεται· ἐκείνου δὲ περὶ τὴν κεφαλὴν ἀσχολουμένου, τὸν πέρδικα ὑποκλέψας, τῇ πήρᾳ ἐναπόθου· σπεῦσον δὲ συνεργῶν τῷ ἱέρακι, τὰ σαρκώδη καὶ μυελώδη τῆς κεφαλῆς θοινήσασθαι, καὶ οὕτω τὸ ὀστῶδες ἀνελόμενος εὐφυῶς τῶν ὀνύχων, παρέχε τῷ ζαγαρείῳ εἰς τὸ φαγεῖν, καὶ προθυμοποιηθῆναι· καὶ εἰ μὲν καλῶς ἐθήρασεν, ἔχου καὶ δευτέρας θήρας· καὶ εἰ μὲν ἀπὸ προόδου θηρεύσῃ, μεῖζον τὸ ἔργον· εἰ δὲ ἐν καταφυγίῳ εἰσέλθωσιν οἱ διωκόμενοι πέρδικες, ἄνω δὲ πέτονται, ἢ καθίσῃ ἐγγὺς ὁ ἱέραξ, δεῖ σε τὸν θηρατικὸν κύνα καλέσαι, καὶ ταῖς ἠθισμέ-

ναις προσλαλίαις παροτρυνέιν· καὶ εἰ καταμάθῃς αὐτὸν σπεύδοντα, καὶ συνεχῶς ὀδμώμενον, καὶ τὴν κέρκον σείοντα συχνῶς, γνῶθι ἐκεῖσε εἶναι τὰ ζητούμενα· καὶ βλέπε πότε ὁ πέρδιξ πεταθήσεται, καὶ ἅμα τῷ ἐκεῖνον πετάσαι, βοῆσαι, τὸ, οὖλ, οὖλ, οὖλ· λάλει λαμπρύ· αὗται δὲ αἱ φωναὶ προσθυμοποιοῦσι τὸν ἱέρακα, καὶ εὔτονον ἀπεργάζονται. εἰ δὲ ὁ τόπος ἐστὶ χθαμαλώτερος, ἢ καὶ ἄλλως ἀνεπιτήδειος, ἔνθα ὁ ἱέραξ ἐκάθισε, προσκάλει τοῦτον, καὶ λάμβανε τῇ λαιᾷ, καὶ τὸν κύνα ἔχων ἑπόμενον, ὀφείλει διερευνᾶσθαι· καὶ ὅταν ἴδῃς ἐν σημείων τὴν τῶν περδίκων κίνησιν, βόα τὸ, πρόσεχε. ὁ δὲ ἱέραξ, συνεχῶς τοῦτο ἀκούων, ὅλῳ νῷ τῇ ἀναπτήσει προσέχει τοῦ πέρδικος, καὶ ἑτοίμως ἔχει τῇ πτήσει αὐτοῦ· εἰ δὲ ὁ ἱέραξ μὲν προΐδῃ τὸ θήραμα, καὶ πρὸς αὐτό γε ὁρμήσει· τὸν κρατοῦντα δὲ μὴ εὑρήσῃ γρηγοροῦντα, καὶ περὶ τὴν πτῆσιν κωλυθῇ ἅπαξ εἴτε δὶς, ὀκνηρότερος περὶ τὰ ἐφεξῆς γίνεται, καὶ τῆς θήρας ἐπιλήσεται· πεμπόμενος δὲ μετὰ προσοχῆς, ἢ πέρδικος ἐπιλαμβάνεται, ἢ καὶ δύο, καὶ πολλῶν ῥᾳδίως, καὶ οὐ μετὰ μόχθων πολλῶν, ἄχει

καὶ

καὶ εἰς σῖτον, καὶ εἰς ὄσδοον λυέσθω· εἰ δὲ δυσχε-
ρείας ἐμπεσούσης τινὸς, δύο ἢ καὶ τριῶν ἐπι-
λάβοιτο μόνον ἐν διαφόροις λύσεσι, καὶ ταῦ-
τα καμάτῳ πολλῷ· προαιτέρω μὴ ἀπολύειν
ὅλως. ἀποκναίειν γὰρ συμβαίνει τὸν ἱέρακα, καὶ
βουλιμιᾶν, καὶ εἰ μετὰ προθυμίας μὲν ἀπέλθῃ
ῥάσῃ δ' οὖν, ὡς δειλὸς στρατιώτης, δένδρῳ τι-
νὶ ἐγκάθηται ἐγκαλυπτόμενος, καὶ μηδὲ πρὸς
τὸ τῆς χειρὸς βρῶμα καλούμενος ἐλθεῖν ὅλως
ἐθέλῃ, λήθην ἅμα καὶ ὁδοῦ καὶ τοῦ θηράματος
ἐμποιῶν· εἰ οὖν τοῦτο γένηται, ἢ διὰ δυσχέρειαν
τόπου, ἢ διὰ στάσιν ἀνεπιτήδειον, ἢ παρὰ τὸ μὴ
ἐνεργῆσαι τὸ ζαγάρειον, ἢ καὶ διὰ τὸν ἱέρακα
ἀνόρεκτον εἶναι, ὑπεισελθεῖν δεῖ σε τὸ καταφύ-
γιον, καὶ συνήθως τὸ ζαγάρειον κατάλεγε, ὥ-
σπερ ἔθος, καὶ εἰ μὲν ἔστι σοι πέρδιξ κεκρυμ-
μένος, ἢ ζῶν, ἢ τεθνηκὼς, ἐναπόρριπτε αὐτὸν
τῷ ἱέρακι. εἰ δ' ἀπορεῖς τοιούτου, νεοσσὸν ὄρνι-
θος κατοικίδος, ἢ περιστερὰν λεληθότως ἐπιρ-
ρίπτειν αὐτὴν τῷ ἱέρακι, καὶ φωνεῖν τῇ συνή-
θει φωνῇ, τὸ, οὖλα, λάλα λά, καὶ ἀποστρέπειν
τοῦτον ἐλθόντα καλῶς, καὶ μὴ σπεύδειν, μὴ καὶ

ἐν ἑτέρῳ καιρῷ ἄπρακτος τῆς θήρας ἀπέλθῃς, καὶ μᾶλλον εἰ καὶ διαφόρως τοῦτο πάθοι, παντελῶς ἐπιλανθάνεται τῆς θήρας, καὶ ὅσον ἐπισπεύδεις, καὶ αὐτὸν, καί σε, ἀσυνέργητον εἰς τὸ καθόλου καθιστᾶν· διὸ καὶ ἀχρειοῦται, εἰ μὴ πάλιν διὰ μεθόδου τοῦτον ἐπανορθώσῃς. λέγουσι γάρ τινες τῶν πρὸς θήραν ἀτέχνως καὶ ἀχρήστως ἔχοντες, ὅτι πρόθυμον αὖθις καταστήσεις τὸν ἱέρακα εἰς θήραν, εἰ τροφῆς κωλύσῃς μεταλαχεῖν· ἔχεται οὖν καὶ τοῦ ἴσως λογισμοῦ· ἀλλ' ὅτε λιπόσαρκός ἐστιν ὁ ἱέραξ, καὶ ὄφασιν ἀποκαθισμένος· ἐπὶ τούτου δὲ οὐ τὸ ῥηθὲν θεραπεία, ἀλλ' ὃ λέξειν ἐπείγομαι. ἔστω ὁ ἱέραξ καὶ ἱκανὸς πρὸς τὴν θήραν· ἔστω δὲ καὶ ἀποδεδοκιμασμένος· εἰ οὖν οὐ φθάσῃ θηρᾶσαι, ἀλλ' ἤδη δειλαίνοιτο εἰσελθεῖν εἰς τὸ καταφύγιον, ὥστε τὸν πέρδικα ἀπεκεῖσε λαβεῖν, ὃν ἐδίωκε, σὺ ῥίψας ἑτέραν μὲν τῶν ἱκανωτέρων πέρδικα, ὡς δόξαι αὐτὸν εἶναι τὸν διωκόμενον· λάβῃς δὲ τοῦτον ὡς ἤδη θηράσαντα, καὶ πορρωτέρω εἶναι κελεύσεις· εἶτα ῥινηλατοῦν κυνάριον τῷ καταφυγίῳ ἐπιστήσας, γνωρίζειν παρακελεύσεις τὸ θήραμα, καὶ σφῶν

κεχρῆσθαι ταχύτερον. καὶ εἰς μάλα πρὸς ἀκριβεστέραν ἀναψηλάφησιν ἐρεθίζονται, ὡς δειλιάσαντα τῷ τῶν κλάδων συνηρεφεῖ πέρδικα ἀναπτῆναι πρὸς φυγὴν ἐξορμῆσαι.

## Ὅπως δεῖ ἐθίζειν ἐν τοῖς φασιανοῖς.

Πλὴν καὶ ἐν τοῖς φασιανοῖς, ἀσκείσθωσαν οἱ ἱέρακες· ἀλλὰ μὴ ἐν τοῖς τελευταίοις θηράμασιν. ἐν τοῖς ὑστάτοις γὰρ πέρδικες ἔστωσαν, ἵνα ἐξ αὐτῶν ἀπογευόμενοι οἱ ἱέρακες, τέλος τοῦ μόχθου ἔχωσι, καὶ μὴ τῷ κεχαυνωμένῳ καὶ ῥαθύμῳ διωγμῷ, τὸ τῆς ὁλκῆς σφοδρὸν, εἰς ἀσθενεστέραν ἰσχὺν περιστῇ, εὕρεσιν φασιανῶν ἐργαζομένῳ· φωνῶν μὲν ἢ ἀλαλαγμῶν χρεία οὐδαμῶς· ψόφοι δὲ ἐν τοῖς εὑρισκομένοις, καὶ λεπτότεροι συριγμοὶ τελείσθωσαν. φωνῶν μὲν γὰρ ἀκούων ἡσύχων, οἰκείοις ποσὶ διδράσκει τοὺς θηρατάς· καὶ οὐκ ἄλλως ἐστὶ θηρευόμενος, εἰ μὴ τὸ κυνάριον αὐτὸ καταλήψεται. τῶν δὲ ἐν τοῖς κλάδοις ψόφων τελουμένων καὶ τῶν συριγμῶν περιδεὴς γεγονὼς, ἐξίπταται μὲν, ἐν ᾧ κέκρυπται δάσει, καὶ οὕτως ἔπι ἅπτεται, καὶ εἰ

πλησίον μετὰ τοῦ ἱέρακος θηρεύων ἐστὶ, μόχθῳ μὲν πολλῷ οὐ χρήσεται, λύσει δὲ ἅμα τῇ πλήσει τὸν ἱέρακα, ἢ εὐθέως παρασκευάσει ἁλωθῆναι, ἢ εἰς μήκιστον οὐ διαφύγῃ· ἔστω δὲ καὶ σκοπὸς τῆς τοῦ ἱέρακος βοηθείας ὁ ὑποκείμενος· χρὴ γὰρ τοῦτον λυόμενον εἰς τὴν θήραν ἀπὸ ὑψηλοτέρου φαίνεσθαι τῶν μερῶν· μεγάλη γὰρ ῥοπὴ πρὸς τὸ θηρᾶν ἐστὶν ἡ τῶν μετεώρων τόπων περισκόπησις. τούτῳ γὰρ καὶ τὸν εὐφυῆ θηρατὴν δόκιμον ἀναδείξεις, καὶ τὸν ἀφυᾶ εἰς εὐφυΐαν ἀγάγεις ἐπ' ὀλίγον.

## Καὶ ὅπως εἰς νήσσας ἐθίζει.

Βούλει δὲ καὶ περὶ τῶν νησσῶν εἰπεῖν, πῶς δεῖ καὶ ταύτας θηρᾶν. ἐπὰν καταμάθῃς ἀχρειωθέντα τὸν ἱέρακα, καὶ μηκέτι εἰς διωγμὸν ἐξαρκοῦντα περδίκων, τότε ὕστατον αὐτὸν ἔθιζε ἐν ταῖς νήσσαις· οὕτως δ' ἂν ἐθίσαις· φέρεις μὲν αὐτὸν ἐν τῇ λαιᾷ χειρὶ, ὡς ἔθος· ἐξαρτήσεις δὲ τοῦ δεξιοῦ μηροῦ χάλκειον κύμβαλον, ὅπερ τύπτεις, ὅτε χρεία· λαβὼν οὖν νῆσσαν χειροήθη λίαν· αὕτη γὰρ ταῖς ἀγρίαις ὁμοίως, πέτεται ἐν

τόπῳ τινὶ καταφερεστέρῳ· εἶτα φέρε τὸν ἱέρα-
κα πλησίον, καὶ ἐν συνθήματος πληγέντος τοῦ
κυμβάλου, πετασθήτω ἡ νῆσσα παρὰ τοῦ κατέ-
χοντος αὐτὴν εἰς ὕψος· σὺ δὲ τὸν ἱέρακα λύ-
σας· καὶ εὐχερῶς ταύτης δεξάμενος, ἐμφορη-
θήσεται, καὶ ἀπὸ τοῦδε ἔσται καὶ ταῖς λοιπαῖς νήσ-
σαις τὴν οἰκείαν ἐνέργειαν φυλάττων. τὴν
αὐτὴν γὰρ τάξιν παραφυλάττειν δεῖ, καὶ ἐν
ταῖς ἀγρίαις· καθεζομέναις γὰρ ἐν χθαμα-
λωτέροις καὶ ἀλσώδεσι τόποις, κλίνειν μὲν ἄχρις
ἐδάφοις αὐτὸν, ὥστε μὴ κατάδηλον αὐταῖς γί-
νεσθαι· παραγίνεσθαι δὲ ἐγγύθεν ἀνοπτί· καὶ τη-
νικαῦτα τῷ αἰφνιδίῳ ψόφῳ, τῷ ἐν τοῦ χαλ-
κείου σκεύους, καὶ συνήθει φωνῇ παρασκευά-
ζειν ταύτην εἰς ὕψος ἐξαίρεσθαι. καὶ οὕτως
μιᾶς ἐν τούτων ἁλισκομένης ἀπογεύεσθαι τὸν
ἱέρακα, ὡς καὶ πρὸς τὰς ἐφεξῆς καθίστασθαι,
ἐπιτήδειον. ἔστι δὲ καὶ ἑτέρα τις μέθοδος τῆς τῶν
νησσῶν ἁλώσεως, ὅτε μὴ ἐν λάκκῳ κάθην-
ται, ἀλλὰ μήκοθεν ἐν ὑδαρῷ τόπῳ καθημέ-
νας ταύτας ὁ ἱέραξ θεάσηται. ὁρῶν γὰρ ταύτας,
εὐθὺς σφύζει πρὸς διωγμόν· ὁ δὲ κατέχων



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

αὐτῶν προτέρω χωρεῖ, διὰ τὸ μὴ κατάδηλον αὐτῶν γίνεσθαι, καὶ τρέπωσιν εἰς φυγήν· μεθ' ὃ δὲ κατὰ τὸ δυνατὸν σοι κρύφιον πλησιάζεις αὐταῖς, κατάδηλον τὸν ἱέρακα ποίησον, καὶ τῷ ψόφῳ τοῦ κυμβάλου πετασθῆναι αὐτὰς ποίησον, κἀντεῦθεν κατ' αὐτῶν ὁρμήσαντα τὸν ἱέρακα λῦσον· ἔσται δὲ ὁ κατὰ τὴν νησσῶν χωρῶν ἱέραξ ἄνευ κωδωνίου καὶ μὴ τῶν ἀργῶν τις ἔστω· ἀλλὰ τῶν μάλιστα ἐνεργῶν.